Τίς δ᾽ ἄλλος Θεὸς ἀθάνατος, τίς δ᾽ ἄλλος ὕπερθεν,
Παντοκράτωρ, γαίας καὶ αἰθέρος ἄντυγα νωμᾷ;
Κεῖνος μὰν ἀλκὴν ὑπ᾽ ἐμοῖς μελέεσσι πυκάζει,
Κεῖνος ἐμαῖς πρήξεσι τρίβον πόρεν εὐάντητον,
Κεῖνος ἐμοὺς ἐλάφοισιν ἔδω πόδας ἔμμεν ὁμοίους
Ὠκυπόροις, καὶ κεῖνος ἐμὰς ἄτας ἐπαλαλκεῖ·
Καὶ παλάμας ἐδίδαξε νέμειν πολεμήϊα ἔργα
Ἄπλετα, χαλκοδέτου τόξου δυσπειθέα κίκυν
Ἀγκλίνειν, καὶ χερσὶν εὐγνάμπτοις καταγνάξαι.
Κεῖνος ἑῆς παλάμης πόρεν ἀσπίδα, καί με σαωτὴρ
Ἄρνυται, ἠδ᾽ ἐσθλὸν μεγαδώτης ὄλβον ὀπάζει·
Ἐν δὲ λόχοις ὁδὸν ἐξερέεινε, πόδας τε κελεύθου
Ὀρθῆς ἐμβιβάα. εἰ δ᾽ ἡγήσαιο, διώκω
Δυσμενέων ἀνδρῶν φυγάδα τρίβον, εἰσόκε πάντες

* Ἐρυμνὸν, in codice meo.

Πρόρριζον

Si præeas, virorum fortem catervam interficiam
Exitioſorum, tranſiliamque urbium totos-æneos muros.
Quinimo tu, Præſtantiſſime, vitæ præbes mihi immortalem fulgorem:
Quodcunque tuo ore verbum exciderit, id ſcilicet auro
Purius *eſt*, quod *ſub* exploratione diſcriminantes flammæ repurgârunt.
Ille verò clypeus *eſt* tutus ſuo fideli populo.
Et quiſnam alius Deus immortalis, quiſnam ſanè alius ſupernè,
Omnipotens, terrarum et cælorum orbem temperat?
Ille profectò vigorem meis membris adauget,
Ille meis facinoribus viam largitur expoſitam.
Ille meos pedes cervis dat eſſe ſimiles
Velocibus, atque ille meas noxas depellit:
Etiam manus edocet *meas* adminiſtrare bellicas res
Immenſas, æneis-vinclis-ligati arcûs rigidum impetum
Curvare, et manibus expeditis confringere.
Ille ſuis palmis præſtat *mihi* clypeum, et me
Salvator excipit, atque largam munificus-diſpenſator copiam ſuppeditat.
Vel inter inſidias viam *mihi* explorat, pedeſque meos viam
Rectam inſcendere-facit. Si tu præiveris perſequar
Malevolorum hominum fugacia veſtigia, donec cuncti

Stirpitus

Πρόῤῥιζον πίπτοντες, ὀδὰξ λάζοιντο ἄρουραν,
Ἠδὲ νέον τὸν ἄρηα παλίσσυτον οὐχὶ δύναιντο.
Κάρτος ἐμοῖς μελέεσσι βιοσσόον ἐγγυαλίζεις,
Εὐμελίην νεύροισιν ἰδ' ἠνορέην ἐνέχευας,
Ἔργα δὲ καί με δίδαξας ἀρηϊφάτου πολέμοιο·
Ὅς κέ μοι ἀντίπαλος σεύοι, χαμάδην ἐπάλαισας,
Προτροπάδην τε δίωξας ἐμῶν κακὸν οὐλαμὸν ἐχθρῶν.
Λισσομένους οὔτις τ' ὀλοφύρατο, οὐδ' ἐλέησεν.
Ἀθάνατον λιτάνευσαν, ὁ δ' ἀθάνατός τ' ἐλάφριζεν
Τῶν εὐχὰς, καὶ τοῖσιν ἀναίνετο εὐμενὲς οὖας.
Τοὺς δ' ἐγὼ, ὡς νεφέλην βορέου μένος ἔνθα καὶ ἔνθα
Καρφαλέην σκιδνᾷ, κυκάω, τοῖσδεσσιν ἐνιστῶν
Σμερδαλέως, τῶν λὰξ τε πατῶ δέμας αὐτοραϊστὸν,
Ἠΰτ' ἀγυιάων κοινὸς θόλος ἐκπατέηται.
Οἰστροπλαγοῦς δὲ λεώ με φυγεῖν πόρε νηλέα λύσσαν,
Δῶκέ θ' ὑπερφιάλων κρατερῶς βασιλευέμεν ἐθνῶν,
Ἀγνώτων πτολίων τε λεὼς παρὰ γούνατα πίπτειν
Λισσομένους, ποτὶ θρύλλον ἐρισμαράγου πολέμοιο,
Τείνοντας παλάμας, δειδίσι τ' εὐχωλῇσι
Ψευδοσεβεῖς. οὐ δῆθεν ἑοῖς θριγκοῖσι πίθοντο.

Ἀθανάτῳ

Stirpitus proſtrati, mordicus prehendant terram,
Neque inſtaurare aciem inclinatam ullo-modo
valeant.
Vigorem meis artubus ſalutiferum præbes,
Aptam-intentionem nervis et virtutem infundis.
Quinimò opera me docuiſti fortis belli:
Quicunque luctator-oppoſitus me provocaverit,
humi-ſtratum ſupplantâſti *eum*,
Et verſis-ubique-tergis-fugatum disjeciſti meorum
perditum globum hoſtium.
Ac ſupplicantes nemo deploravit, neque miſertus-
eſt.
IMMORTALEM ſupplices-oravêre, attamen IM-
MORTALIS elevavit
Illorum vota, atque eis denegavit benevolam
aurem.
Hos autem ego, tanquam nebulam Boreæ impetus
huc et illuc
Pulveream [*aridam*] diſſipat, impello, illis inſtans
Atrociter, horumque ſub-pedibus *meis* attero cor-
pus de-ſe-profligatum,
Ceu triviorum commune lutum attritum-eſt.
Oeſtro-percitæ etiam plebis me vitare conceſſiſti
crudelem rabiem,
Dediſti quoque ſuperbis fortiter imperare gentibus,
Atque ignotarum urbium populos ad genua *mihi*
accidere,
Supplicantes, ad rumorem valde-tonantis belli,
Manibus porrectis, et ſpecioſis precibus
Simulantes-obſequium: nequicquam ſcilicet ſuis
mœnibus fiſi-ſunt.

Ἀθανάτῳ γε κράτευς κλέος ἄφθιτον, ἀθανάτῳ δὲ
Πᾶν σθένος, ὅς με σάοι, ὅς καί με μόρου ἐπαρήξοι
Ἄσμενος, ὅς κέ με ῥῖγος ἀνάρσιον οὔρεϊ χαλκῷ
Οὐλομένων ἀνδρῶν ἐκπερθέμεν, ἠδέ κε λαοὺς
Πείθεσθαί τ' ἐθέλοντας, ἰδ' ἀσκηθῆ μαλεροῖο
Δῶκεν ἀλυσκάζειν πολέμου κρυόεσσαν ἀκωκήν·
Ὅς με φύλαξ φρουρεῖ λαοῦ ἐπιμαινομένοιο,
Ἠδὲ νοοπλάγκτων κακομήχανα μήτεα λύει.
Αὐτὰρ ἐγὼ δήμους διὰ γείτονας, αἰέτε πάμπαν
Πάντοτε κῦδος ἄγω τεὸν, ἄφθιτε· ὅς κε φυλάσσεις
Σὸν βασιλῆα, πόρες πρόφρων βασιλήϊον ὄλβον.
Αἰεὶ μὰν δοίης τοῖς ἐσσομένοις μέγ' ὄνειαρ.

ΚΥ'ΡΙΕ παντοκράτορ, κἂν ἡ ἐκκλησία σου πολλαῖς μάχαις ἐνδιαφέρηται, διὰ σοῦ ὅμως τοῦ λόγου πιστεύομεν ἐκείνην, ἐπὶ ταῖσδε ταῖς δυσχερείαις ἀσάλευτον περιγενησομένην, καὶ δὴ καὶ Κυρίῳ νικήσουσαν καιρῷ· τοῦθ' ἡμῖν γε παρὰ σοῦ ἀκριβῶς ὡμολόγηται. Χριστὸς γὰρ υἱός σου Κύριος ἡμῶν, νικήσας θάνατον, κόσμον, ἁμαρτίαν, διάβολον, εἰς οὐρανὸν ἀνέβη, ὡς μετὰ ἡμᾶς ἐκείνου νίκῃ νικήσειν. δὸς τοιγαροῦν βέλτιστε πάτερ, ἐπὶ τόσοις θορύβοις ἡμᾶς ἐπιβεβαιοῦν τὰς ἡμετέρας ψυχὰς διὰ τῆς τῶν ἐπαγγελιῶν σου πληροφορίας. εἴγε ἡ ἐκκλησία σου

δεινοῖς

IMMORTALI verò *ſit* imperii, honor perpetuus; IMMORTALI etiam
Omne robur, qui me ſervabit, qui me fato vindicabit
Libens; et qui mihi aſperitatem implacabilem lato ferro
Pernicioſorum hominum abolendam, atque populos
Etiam obſecuturos volentes, necnon incolumi *mihi* devaſtantis,
Conceſſit evitandum belli terrificum rumorem:
Qui me cuſtos præſidio-tenet *a* plebe inſaniente,
Et mente-errantium ſceleratas rationes conturbat:
Verùm ego per populos vicinos in-perpetuum uſque
Semper gloriam concelebrabo tuam, ÆTERNE; qui cuſtodias
Tuum regem, *ei* concilies benevolus regiam felicitatem.
Semper enimverò conferes *in* poſteros *ejus* amplum emolumentum.

OMNIPOTENS ſempiterne Deus, etiamſi Eccleſia tua variis certaminibus conflictetur, ex verbo tamen tuo credimus illam inter iſtas difficultates potentia tua conſtanter perduraturam, imò & victricem ſuo tempore futuram. Certa hac de re nobis dediſti teſtimonia. Victor morte, mundo, peccato, diabolo ſuperatis; in cœlum aſcendit Chriſtus Filius tuus Dominus noſter, ut illius victoria haud dubiè vinceremus. Da igitur, Pater optime, ut inter tot tantáſque pugnas animos noſtros muniamus certa promiſſionum tuarum perſuaſione: etiamſi Eccleſia tua

δεινοῖς ἀνθρώπων πολιορκουμένη ὅπλοις, φαίνεται νικηθεῖσα, καὶ δὴ καὶ πανώλεθρος· τοῦθ' ὅμως διισχυριζώμεθα, ἀείδιον μέλλειν τῆς ἀληθείας σου πίστιν καὶ δύναμιν. οὐδὲ φοβώμεθ' ἀνθρώπων ἢ βουλὰς ἢ ὅπλα, ἀλλ' ὁ φόβος τοῦ ὀνόματός σου ὑπάρχοι τῆς ἡμετέρας θαῤῥαλεότητος βάθρον. δὸς ἡμῶν ἀδελφοῖς τοῖς ὑπὸ δεινοτέρων μαχῶν ἐπασκουμένοις πίστιν, θάῤῥος, ξύνεσιν, καὶ πραγμάτων εὐπραγίαν. ἡ δ' ἡμετέρα πίστις παρὰ τήνδε τῶν χαλεπῶν ζάλην νίκη ἡμῖν ὑπάρχοι· τῶν κακῶν τῆς ἡμετέρας σαρκὸς ἐπιθυμιῶν κρατῶμεν, ὥστε σ' ἐν ἡμῖν διὰ πνεύματος ἁγίου βασιλεύειν· τὰς δ' ἡμῶν ψυχὰς ἐν ὑπομονῇ κτᾶσθαι, μέχρι ἂν τῶν ἡμετέρων τε ἐχθρῶν λειψάνων νικηθέντων, καὶ ἡμῶν εἰς αἰώνιον ἀνάπαυσιν συλλεχθέντων, σὺ Θεὸς ᾖς πάντα ἐν πᾶσι. διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

## ΨΑΛΜΟ'Σ κβ'. χελλιαστικός.

Genus Heroicum, ut in ſuperiore.

ὮΜΟΙ τίπτε λίπες με Θεός μου, τίπτε Θεός μου,
Αἰνοπαθῆ με λίπες, στρωφώμενον ἔνθα καὶ ἔνθα
Ὅσσαν ἀμαιμακέτου πένθευς; καὶ πᾶν μὲν ἐπ' ἦμαρ
Ἐγχεύας μῦθον ταλαπείριον, ἠδ' ἐπὶ νύκτα
Γανστυγερᾶς φωνῆς στυγερὰν ὁδὸν ἐξιχνεύω,
Οὐδέ πη ἐξήκουσας ἐμοῦ θρόον ἀχνυμένοιο.
Τύνη δὲ, τύνη τελέθεις Θεὸς, οὗ πέρι πάμπαν

periculoſis mundi armis circumſeſſa, victa videatur, imò ultima penè internecione deleta: ſtatuamus tamen ſempiternam fore tuæ veritatis fidem atque efficaciam: nec vereamur hominum aut conſilia aut arma, ſed timor nominis tui ſit fundamentum noſtræ conſtantiæ. Da fratribus noſtris, qui acrioribus etiam certaminibus exercentur, fidem, conſtantiam, prudentiam, felicem rerum ſuarum exitum: denique fides noſtra inter varias calamitatum tempeſtates ſit noſtra victoria: diſcamus vincere pravas cupiditates carnis noſtræ, ut tu regnes in nobis per Spiritum ſanctum tuum: poſſideamus interea animos noſtros in patientia, donec devictis omnibus hoſtium noſtrorum reliquiis, nobíſque electis tuis in æternam requiem collectis, tu ſis Deus omnia in omnibus. In unigenito Filio tuo. Amen.

## PSALMUS XXII. Lamentabilis.

HEI mihi! cur dereliquiſti me, Deus mi, cur Deus mi,
Gravia-patientem me dereliquiſti, jacientem huc et illuc
Verba immenſi luctûs? Imò verò in ſingulum diem
Infundens voces queribundas, et per noctem,
Mœſtiſſimè ejulandi mœſtam viam inſiſto;
Neutiquam tamen exaudîſti clamorem mei dolentis.
Atqui tu, tu es Deus, quem prorſus

Ἰσακίδαι αἰνεῦσι διηνεκὲς ἔννομον ᾠδήν·
Μοῦνος δ' ἐλπὶς ἔηθα πάλαι προγόνοισιν ἐρεμνῇ,
Τέκμαρ τῶν εὐχαῖσι τελεσφόρον ἐγγυαλίξας·
Οὐκ ἄρα μαψιδίως σε, πάτερ, κεῖνοι λιτάνευσαν,
Χριμφθέντες δεινῆσι παλαισμοσύναις ὀδυνάων·
Τοῖσδε βάσιν καὶ τοῖσδε κλέος σύγε δῶκας ἀγώνων.
Αὐτὰρ ἐγὼ σκώληξ, οὐδ' ἄνθρωπος καλεοίμην,
Δύσποτμος πάντεσσι γέλως καὶ φλαῦρον ἄθυρμα
Ὄχλου ἐπεσσυμένου· ἐμὲ δ' ἑψιόων δακέθυμα,
Ἠδ' ὀνοτὸν στυφέλιζον ἐὸν κάρα, κερτομέοντες·
Ἀθανάτῳ (φάσκουσιν) ὃ πείθετο, ἀθάνατος πᾶν
Τῷ σθένος· ἀθάνατος τὸν σώοι, καὶ τὸν ἐρύκοι
Τῶν ἀτέων, εἰ δὴ τόσον οἱ κεχαρισμένος ἐστί.
Παμβασιλεῦ, σύ δ' ἐμῆς με πρόφρων ἐνὶ γαστέρι μητρὸς
Ἐνδυκέως κατιδὼν προφόως δ' ἄγες, ἠδ' ἐπὶ μαστοῖς
Νήπιον αἰωροῦντα τεοῖς ἐκδέξαο κόλποις·
Ἐκ γενετῆς σὺ Θεὸς, σὺ Θεός μοι πάμπαν ἐτύχθης·
Μή μου ἄπωθεν ἔῃς κρυερῷ ἐνὶ πήματος οὐδῷ.
Λοίσθιος ἄτη μὲν κρέματαί μοι, ἄπεστι δ' ἀρωγός.
Ταῦροι δ' οὐλοκέρῳ με, κακῶς χαροποί τε λέοντες
Λαβροβόροις στομάτεσσι μ' ἔδειν περισοιχίζουσιν,

Ἄγρης

Iſacidæ laudant aſſiduè legitimo cantu:
Solus etiam ſpes eras quondam majoribus fida,
Signum horum precibus auſpicatiſſimum edidiſti.
Non ideò fruſtra te, Pater, illi obſecrârunt-ſupplices,
Delapſi *in* gravem luctam anguſtiarum.
Iſtis exitum, atque iſtis gloriam tu præſtitiſti certaminum.
Atqui ego vermis, neque homo, vocer,
Infelix cunctis riſus, et vile ludibrium
Plebis incitatæ: me enim irridebant mordaciter,
Atque vituperans quaſſabant ſuum caput, conviciantes:
Immortali (dictitant) iſte ſiſus-eſt, Immortalis totum
Iſti robur: Immortalis eum ſervet, et eum eruat
Anguſtiis *ſuis*, ſiquidem *apud* illum tantoperè ſit gratioſus.
Summe-Rex, enimverò tu benevolus, me in utero meæ matris
Accuratè inſpecto, in-lucem etiam edidiſti; atque ad ubera matris
Infantem pendentem tuo excepiſti ſinu:
Uſque a partu tu Deus, tu Deus mihi omnino extitiſti:
Ne longiùs a me ſis diro in paſſionis limine:
Ultimum enim diſcrimen impendit mihi, deeſt etiam auxiliator.
Tauri quoque admodum-cornuti me, et malè læti leones
Hiantibus faucibus ad-devorandum me circumcingunt,

Prædæ

Ἄγχης ἐμμεμαῶτες ἐρισμαράγοις ὀλολυγαῖς.
Ἔῤῥει δ', ἠΰθ' ὕδωρ, κέαρ οὐλόμενον, καὶ ἄκικυς
Ἐλλιπόλην· μελέων δυσκηδέα δεσμὰ λέλυντο.
Τήκετο κῆρ, ὡς καὶ μαλερῷ πυρὶ τήκεται κηρός·
Ὄστρακον ὡς ξηρὸν, τοὐμὸν, δέμας ἔλλιπεν ἰσχὺς
Ἀζόμενον· στομάτεσσι κενή τ' ἐπενήνοθε γλῶσσα.
Ἠΰτ' ἐγὼ θανάτοιο πύλαις ἔπι ψυχρὸς ἐκείμην,
Καί με κύνες λαβρόδοντες ἐπασσυτέραις ὀλολυ-
γαῖς
Ἔνθα καὶ ἔνθα βάλοντο κυκώμενοι, ἠδὲ κυδοιμὸς
Οὐλοφρόνων ἀνδρῶν κακά μ' ἄσπετα μηχανάασθαι.
Πεῖραν μοι χέρας ἠδὲ πόδας, λογίσαντο καὶ ὀστᾶ,
Ὠμὸν καὶ βρύσαντες, ἐμὸν κακὸν ἐγγελόωσιν,
Ἄσπλαγχνοι, σκληροῖσι καθαπτόμενοι ἐπέεσσι.
Θοἰμάτιον δ' ἐδάσαντο, πάλον καὶ κλῆρον ἐμὴν ἐς
Ἐσθῆθ', ὡς λαφύροισιν ὑπερφιάλως γαυριῶντες.
Τύνη δὴ τύνη, Θεὸς ἄφθιτε, οὔ μου ἄπωθεν
Ἧς, πάτερ, ἐλπὶς ἐμὴ τάχ' ἐπισπεύσσειας ἀρωγός·
Κἠμὲ σὺ σῶε, πάτερ, ξίφεος βριαροῦ τε λέοντος,
Καὶ κυνὸς ὠμήστεω εὔνιν ψυχὴν ἐπαλάλκει,
Ὅππως μὴ θηρῶν δεινοῖς παρθῶ κεράεσσι.

Prædæ ſtudio-incitati valde-tonantibus rugitibus.
Diffluit ſanè, velut aqua, cor *mœrore*-confectum, et impotens
Defeci-animo, artuum curis-graviter-affecti nexus ſolvuntur.
Colliqueſcit cor, quemadmodum etiam ardente igne colliqueſcit cera:
Teſtam quaſi aridam, meum corpus deſeruit vigor.
Exſiccatum: faucibusque rigida adhæſit lingua.
Ego tanquam ad mortis januam frigidus jacebam,
Et me canes rabidi repetitis latratibus
Hinc et inde impetunt infeſtantes, atque turba
Perditorum virorum mala *in* me innumera machinantur.
Transfixêre mihi manus atque pedes, necnon numeravêre oſſa,
Humeris etiam verberibus-gravatis, meum infortunium irrident,
Immiſericordes, trucibus inceſſentes *me* dictis.
Veſtimenta porro *inter-ſe* partiti-ſunt, jeceruntque ſortem meam in
Veſtem, tanquam ſpoliis immodicè elati.
Tu verò, tu, Deus Æterne, nequaquam a me procul
Eſto, Pater; ſpes mea feſtinatò accurras auxiliator:
Atque me tu ſervato, Pater, *a* gladio, validoque leone,
Et cane carnivoro unicam *hancce* animam eripito,
Ita-ut non belluarum diris occumbam cornibus.

Ἠδ' ἱκέτην με, πάτερ, πρόφρων κλύε κηδόμενόν περ·
Καὶ τότε δὴ, κάρτιστε, τεὸν κλέος αἰὲν ἀείσω,
Μέλψω ἐμῶν θιάσοισιν ἐπ' ἀγρομένοισιν ἀδελφῶν,
Ἐγκεράσας γλυκὺν οἶμον ἐριστεφάνοιο θριάμβου,
Νικητὴς θανάτοιο· ἐρῶ δ' ἄρα, Εἶδ' ἄγετ' ὦνδρες
Εὐσεβέως ξυνετῇσι Θεὸν πραπίδεσσι σέβοντες
Ἰσσακίδαι, θείου ἱερὸν θάλος Ἰακώβου,
Ἀθάνατον μέλποιτε διαμπερές· ὅς γε πενιχροῦ
Οὐ γελάα χατέοντος ἀγαλλήτων ὀδυνάων,
Οὐδ' ἀπέστρεψε πρόσωπον· ἀτὰρ κἀμοῦ προσάκουσε
Ἵλαος, καὶ δῶκε βίου γέρας εὐαιῶνος.
Μνήσομ' ἔγωγε σέθεν, πάτερ ἄφθιτε, ἀενάοισι
Κληΐζων σ' ὕμνοις πολυανθρώπῳ παρ' ὁμίλῳ
Εὐσεβέων ἀνδρῶν, καὶ πρόφρων ἱερὰ ῥέξω.
Ἐσθλῶν δ' ἱρὸς ὅμιλος ἐπ' εἰλαπίναις ἱερῇσι
Γηθόσυνοι ξυνετὸν κέαρ ἀρτυνέουσιν ἐδωδῇ·
Εὐμόλποις ξύμπαντες ἐφυμνήσουσί τ' ἀοιδαῖς
Ἀθάνατον, τὸν δή σφι γέρας βιότοιο διδόντα.
Τοῖς δ' ἄρα θαυμασίοισιν ἐπ' ἔργμασιν ἀθρόος αἶα
Ἐξ ἀοῦς δνοφερόνδε τέθηπέ τε, ἦλθέ τε γαῖα
Ἀθάνατον τιμᾶσα διαμπερὲς, ἀθανάτῳ δὴ

Ἱερὰ

Atque ſupplicem me, Pater, benevolus audito curis-gravatum.
Et tunc ſanè, Præſtantiſſime, tuam gloriam ſemper concelebrabo,
Cantabo meorum in cœtibus celebribus fratrum,
Immiſto dulci carmine laurigeri triumphi,
Victor mortis: quinimo dicam, Agitedum, O-viri
Piè prudentibus Deum pectoribus colentes
Iſacidæ, divi ſacrum germen Jacobi,
IMMORTALEM cantu-celebretis in-perpetuum; qui pauperis
Non irridet inopis extremas anguſtias,
Neque *ab illo* avertit vultum: quin-potius me exaudiit
Propitius, conceſſitque vitæ præmium beatæ.
Recordabor ego tui, Pater immortalis, perpetuis
Concelebrans te hymnis frequentiſſimo coram cœtu
Piorum hominum, atque alacer ſacra faciam.
Bonorum autem cœtus inter epula ſacra
Lætabundi prudens *eorum* cor reficient cibo:
Et bene-modulatis omnes concinent cantibus
IMMORTALEM, quippe qui ipſis præmium vitæ dederit.
Proinde etiam ſuper admiranda *ejus* opera univerſa tellus
Ab oriente uſque ad occaſum tum ſtupuit; tum venit terra
IMMORTALEM venerans in-perpetuum, IMMORTALEM ſcilicet

Religiosè

Ἱερὰ λατρεύουσα· πολυσπερέων τ' ἀνθρώπων
Φῦλα Θεῷ κεδνῶς ἐπιπρηνέα γουνάζοιντο.
Ἀθανάτῳ πάντων γὰρ πρέπει βασιλήϊος ἀρχή·
Ἀφνειοὶ δ' ἔλθοιεν, ὁμοῦ τ' ἀκαχήμενοι ἦτορ,
Ἀγχίμολοί κε μόρου πρὸς τόνδ' ἄφαρ ὀρνύσσαιντο,
Τῷ τε κορεσθέντες μενοεικέα γουνυπετοῖεν·
Καὶ μὰν τοῦσδε σάωσε φερέσβιος· ἠδ' ἄρα κεῖνον
Λατρεύσει παίδων ἱερὸς γόνος, ἄσπετά τ' ἔθνη
Εἰς λαὸν προμόλοιεν, ἰδ' ἐσσομένοις κείνοιο
Ἐξερέοιεν ἄγαλμα δικαιοσύνης μεγαδώρου.

ΚΥ´ΡΙΕ παντοδύναμε, πάτερ ἐλεημοσυνῶν, χάριζε ἡμῖν τὸ τοῦ τῆς ἀπολυτρώσεως καὶ σωτηρίας τῆς ἡμετέρας μυστήριον πληροφόρῳ πίστει καταλαμβάνειν. Ἁμαρτίας δήπουθεν ἐχθρὸς τυγχάνεις ὤν, δίκαιος Θεός. ἀπέραντος ἄρα τιμωρία, τῆς ἀπεράντου μεγαλειότητός σου ἠδικημένης, τὸ παράπαν ἡμῖν ὠφείλετο. τὸν υἱόν σου ἔδως ἡμῖν ὅμηρόν τε καὶ μεσίτην, τὸν ξύμπαντά σοι καταλλάξοντα ὑπὲρ ἡμῶν, ὅπως δίκαιός θ' ἅμα καὶ ἐλεήμων σὺ φαίνῃ. ὁ λόγος σὰρξ ἐγένετο, καὶ Θεός σοι Θεῷ ἀπεράντως ἠμείψατο. ἄνθρωπος ἀνθ' ἡμῶν ἀνθρώπων ἐμεσίτευσεν, ὡς ἁμαρτίαν ἐν ἐκείνῳ ἀπολίννυσθαι. Εἰς γοῦν Χριστὸν Ἰησοῦν υἱόν σου τὸν ἐκλεκτῶν σου μεσίτην σύμπασαν ὀργήν σου ἐπέχευας, τὴν ὑπὸ τῆς δικαιοσύνης σου δικαίως ὡρισμένην. Χριστοῦ σῶμά τε καὶ τὴν ψυχὴν τοῖς βέλεσί σου διετραυμάτισας, ὅπως σὺ δίκαιος δικαστὴς τὴν ἁμαρτίαν, τὴν σῶμά τε καὶ ψυχὴν ἡμῶν διήξασαν, ἐν ἐκείνῳ διώξῃς. τῆσδε τῆς σῆς ὀργῆς βάρος αἰσθα-

Religioſè colens: multumque-diſſeminatorum
hominum
Gentes Deo reverenter pronæ ſupplicabunt.
Immortali quidem univerſi-mundi competit
regale imperium:
Divites autem accedent, ſimul etiam triſtes corde,
Et qui-in-propinquo mortis *fuêre* ad eum protinus
conciti-ferentur,
Illique ſaturati ex-voto ad-genua-accident.
Enimverò hos ſervavit ſalutifer: tandemque illum
Colet liberorum ſacra ſoboles, innumeræque gentes
Ad populum *ejus* accedent, et poſteris illius
Enunciabunt oblectamentum juſtitiæ admodum-
munificæ.

DOMINE Deus omnipotens, Pater miſericordiarum, da nobis ut redemptionis ſalutiſque noſtræ myſterium certa fide comprehendere poſſimus. Peccati certè hoſtis es, juſte Deus: infinitáque adeò pœna nobis peccatoribus, infinita tua nimirum læſa majeſtate, omnino debebatur. Filium tuum nobis dediſti ſponſorem & vadem, qui hæc omnia tibi noſtro nomine perſolveret, ut juſtus & unà miſericors plenè appareres, Verbum caro factum eſt, Deúſque tibi Deo infinitè reſpondit: homo pro nobis hominibus fide juſſit, ut noſtrum in illo homine lueretur peccatum: tuæ verò infinitæ majeſtati infinitè ſatisfieret. Ergo in Filium tuum Jeſum Chriſtum, Mediatorem electorum tuorum, effudiſti omnem iram tuam, quam juſtitia tua adverſus peccatum juſtè ſtatuerat: Chriſti tui & corpus & animum telis tuis perfodiſti, ut peccatum, quod corpus & animum noſtrum pervaſerat, juſtus judex in illo perſequerêre: tuæ illius iræ horrendum pondus ſentiens
filius

νόμενος ὁ υἱός σου ἐπεβόησεν ὥσπερ εἰ αὐτὸν ἀπέλειπες, ἐπ᾽ ἐνδομύχοις τῆς αὐτοῦ ψυχῆς ὑπεραλγῶν. ξύμπασιν ἀλγηδόνων χαλεποῖς κενωθεὶς, φοβερᾶς ὅμως τῆς σῆς ὀργῆς τὸ ποτήριον ἀπεῤῥόφησε· ποινὰς ἀξίας ὑπέμεινεν· ὅ,τι δήποτ᾽ εἰσέπραττες τοπαράπαν ἀπέδω, καὶ θάνατον δὴ τῆς ἁμαρτίας ὀψώνιον ἐδέξατο. καὶ θανάτῳ συναγωνισάμενος ἐν τῷ τάφῳ θάνατον ἐνίκησε· νικητὴς ἀνήγερθε, ὅπως αἰώνιον ἡμῖν περικτήσαιτο βίον, ὅνπερ ἀνθ᾽ ἡμῶν ἐπεβάτευσεν εἰς οὐρανὸν ἀναβάς· ὅθεν ἡμᾶς διασώζων ἀεὶ τυγχάνει, μέχρι τῆς τῶν αἰώνων συντελείας. δὸς γοῦν, βέλτιστε πάτερ, τούσδε τοὺς θησαυροὺς ἐν ψυχαῖς ἡμῶν ταμιεύειν, ἀνακαλεῖν σε πατέρα, λατρεύειν σοὶ, ὡς ἂν ἐξ ἁμαρτιῶν ἡμετέρων ληθάργου εἰς νέον βίον ὡς ἀληθῶς ἐγερθέντας· ὅπως κἂν τούτῳ τῷ βίῳ μεταξὺ τοιῶνδε δυσχερειῶν αἰσθανώμεθα σε ἀγαθὸν πατέρα· ἄχρι ἂν ἐκείνων κρατήσαντες, ἀνακομίσωμεν καρποὺς τῆς ἀπολυτρώσεως ἐν τοῖς οὐρανοῖς, καὶ σωμάτων δὴ τῶν ἡμετέρων διωρισμένῃ ἐγερθέντων ἡμέρᾳ, τὴν αἰώνιον καρπώμεθα ἀνάπαυσιν, ἥνπερ ἡμῖν παρεσκεύασω ἐν μονογενεῖ υἱῷ σου. Ἀμήν.

## ΨΑΛΜΟ'Σ λ', εὐχαριστικός.

Genus Anacreonticum, ut Pſalmus XIII.

ἘΠΕΙ` πάτερ, μὲ θλίψας,
Οὐ δὴ, πάτερ, θέλησας
Ὡς ἂν γέλως ἐμοῖσιν
Ἐχθροῖς ἐγὼ πελοίμην,
Πάμπαν, πάτερ, σὲ μέλψω.

Ἐγώ

filius ille tuus in intimis etiam animi ſui penetralibus, exclamavit, quaſi illum deſeruiſſes. Omnibus dolorum cruciatibus exinanitus, horrendæ tamen illius tuæ iræ infinitum poculum exhauſit: pœnas quas peccato ſtatueras, ſubiit atque ſuperavit; quicquid exigebas, perfectè repræſentavit: mortémque adeò, juſtas peccati pœnas, obiit: cum ipſa morte in ipſo ſepulchro colluctatus, mortem vicit: victor reſurrexit, ut acquireret quoque nobis vitam æternam, cujus veram ſolidamque poſſeſſionem, in cœlum aſcendens, noſtro nomine inivit: unde nos conſervat omnipotenti ſua virtute uſque ad conſummationem ſeculi. Da igitur, Pater clementiſſime, ut hos theſauros animis noſtris penitus recondamus, invocemus te Patrem, colamus te vera vitæ novitate, exſuſcitati ex veterno peccatorum noſtrorum: ut te ſentiamus Patrem in hac etiam vita per tot ac tantas difficultatum ſalebras: donec illis ſuperatis, percipiamus perfectos fructus redemptionis noſtræ in cœlo, corporibúſque noſtris ſtato tempore exſuſcitatis, fruamur æterna illa quiete, quam nobis præparâſti in unigenito Filio tuo. Amen.

## PSALMUS XXX. Gratum animum indicans.

QUANDOQUIDEM Pater, me afflixiſti
Et nihilominus, Pater, noluiſti
Ut ludibrium meis
Hoſtibus ego fiam,
Omnino, Pater, te cantu-celebrabo.

Ego

Ἐγώ σε δὴ βόησα;
Φέριστε· καί με σῶσας.
Κἀμὴν, κράτιστε, ζωὴν
Ἐξήγαγες φόωσδε
Ἅδου λυγρῆς ὁμίχλης,
Στυγνοῖο κἀκ βερέθρου
Δύστηνον εἵλκυσάς με.
Μέλποιθ' ὁμοῦ οἱ πάντες
Θεὸν, Θεοῦ ἐραννῶν
Δωρημάτων τυχόντες.
Μέλποιτε, τοῦδε μνήμην
Ἐπευκλεοῦντες ὕμνοις.
Ὀργὴ δ' ὑπῆρχε κείνου
Ἐς μὲν ῥοπὴν βραχεῖα,
Τοῦ γ' εὐμενὴς δὲ βουλὴ
Ἀΐδιός κεν εἴη.
Νὺξ μὲν γόους ἑώρα,
Ἠὼς γάνος δ' ἐπεῖδεν·
Καλοῦ δ' ἔγωγε καιροῦ
Ἐρασμίοις ἐν ὥραις
Ἔειπον, Οὐκ ὀλισθῶ.
Τοὐμῷ γὰρ ἵλεως σὺ
Ορει κράτος τεθείκεις.
Ἀτὰρ σὺ μὲν πρόσωπον
Κρύψας, πλάγην δ' ἔγωγε.
Τότ' ηὐχόμην ἐγώ σοι,
Πάτερ, κάλουν σ' αὐτῇ.
Τίς δ' ὠφέλεια τοὐμοῦ

Σοί

Ego te ſanè inclamavi,
Clementiſſime; et me ſervâſti.
Atque meam, præſtantiſſime, vitam
Eduxti in-lucem
*Ex* Inferorum horrenti caligine;
Et ex odioſo Barathro
Miſerum detraxiſti me.
Canite, autem ſimul omnes
DEUM, DEI amabilium
Munerum participes.
Canite, illius memoriam
Concelebrantes hymnis.
Iracundia enimverò fuit illius
In momentum ſanè brevis,
Sed *ejus* benevolum propoſitum
Perpetuum erit.
Nox quidem luctum videbat,
Aurora verò gaudium inpiciebat.
Ego enim tranquillitatis
Perjucundas inter horas
Dixi, Minimè-verò laber:
Meum enim benignus tu
Montem communiêras.
Veruntamen tu vultum *tuum*
Abſcondidiſti, atque conſternatus ego fui.
Tunc ſupplicabam ego tibi,
Pater, invocabam te clamore.
Quænam demum utilitas mei

Σοί γ' αἵματος θύοιτο,
Ἄδου δόμους ἐὰν βῶ;
Μῶν καὶ σποδὸς σὲ μέλψει;
Μῶν δὲ σποδὸς τεοῖο
Λόγου ἀληθὲς ᾄσει;
Πρόφρων, πάτερ, θυοῦ μοι
Εὐχῶν τ' ἐμῶν ἀκούσας,
Βοηθέων με σῶε
Ὦναξ, ἔτρεψας ἔνθα
Γόων ἐμῶν τὸ πένθος
Χοροστάτους ἐς ὕμνους.
Ἐμή γε γοῦν σὲ γλῶσσα
Διαμπερές σε μέλψει,
Κράτιστ'· ἐγώ σε μέλψω
Ἀειδίοις ἐφ' ὕμνοις.

ΚΥ'ΡΙΕ παντοδύναμε, ἐπειδήπερ ἡμᾶς τόσων τε κινδύνων καὶ δὴ καὶ θανάτου ἐλευθερωθέντας, νέοις ἀεὶ δωρῇ δώροις· δὸς μὴ τοσούτων ἐς ἡμᾶς χαρισμάτων ἐκπίπτειν μνήμην, ἀλλὰ καὶ ἐκ τούτου ἀγῶνος καρποὺς σωτηριώδεις κομίζεσθαι. μνώμεθα δήπου ἡμᾶς εὐπραγίᾳ καταχρησαμένους· καὶ δὴ καὶ τοὔμπαλιν, ἐς ὀλιγοπιστίας τεκμήριον, ἐν τοῖς χαλεποῖς δεινότερον ἐπτοῆσθαι. τὸ δ' ἡμῖν ἐς τὸ μάλιστα ταῖς ἡμῶν ψυχαῖς διαμείνῃ, οὐκ ἀτελεῖς παρά σοι τὰς ἡμῶν εὐχὰς γεγονέναι· ὥστε καὶ τανῦν καλῆς τυχόντας ἐκβάσεως, παρασκευάζεσθαι ἡμᾶς ἐς τὸ προσκαρτερεῖν ταῖς μάχαις, ὑφ' ὧν ἐς τοὐπίσω ἐπασκεῖν ἡμᾶς ἐθελήσοις. Βεβαιώμεθ' ὅμως ἀΐδιον μέλλειν ἐς ἡμᾶς τὴν ἀγαθωσύνην σου. καὶ δὴ καί σε ἀδιαλείπτοις δοξάζωμεν ὕμνοις, ἄχρι ἂν ἡ-

μᾶς

Tibi ſanguinis eſſet,
Orci *ad* ædes ſiquidem deſcendero?
Nunquid etiam cinis te cantu-celebrabit?
Nunquid etiam cinis tui
Verbi veritatem canet?
Benevolus, Pater, eſto mihi,
Precibusque meis attentus;
Patrocinio me ſerva,
Domine: convertiſti dehinc
Gemituum meorum luctum
Tripudiantes in hymnos.
Idcirco mea te lingua
Te ſemper canet,
Præſtantiſſime. Ego te canam
Perpetuis hymnis.

DOMINE Deus omnipotens, quandoquidem nos tot periculis, præſenti etiam morte liberatos, novis cumulas beneficiis: da ne tantorum beneficiorum memoria animis noſtris excidat: nos etiam ſalutares fructus ex illis certaminibus colligamus: meminerimus nos & rebus ſecundis abuſos, & contrà, ad infirmæ fidei noſtræ indicationem, in rebus adverſis conſternatiores extitiſſe. Illud verò animis noſtris infixum maneat, non fuiſſe apud te irritas noſtras preces: ut nunc quidem felicem noſtræ afflictionis exitum conſecuti, comparemus nos ad ea certamina, quibus nos volueris exercere, conſtanter ſubeunda: ſtatuamúſque perpetuam fore in nos bonitatem tuam; téque adeò laudibus perpetuis celebremus, donec nos tecum colligas in eam

μᾶς ξυλλέγῃς ἐς ἐκείνην ἀνάπαυσιν, ἣν παρεσκεύασω ἡμῖν ἐν οὐρανῷ. διὰ Ἰησοῦν Χριστὸν Κύριον ἡμῶν. Ἀμήν.

* * * * * * * * * * * * * * * * * * * * * * * * * * * * *

## ΨΑΛΜΟ'Σ λα'. *εὐχαριστικῶς εὐκτικός.*

Genus Anacreonticum, ut ſupra.

ἘΜΗ'Ν ἔγωγε πάμπαν
Ἐλπωρὰν ἐς σὲ θῆκα,
Ὦναξ κράτιστε πάντων.
Οὐκ εἴθε τὴν ἐμήν γε
Ἐλπωρὰν αἶσχος αἱρῇ.
Ἐμῶν δίκαιος ἐχθρῶν
Ῥύου με, καὶ θὲς οὔας·
Σὺ δ' αἶψά μοι βοήθει,
Σὺ πέτρα μοι πέλοιο,
Καὶ στεῤῥὸν εἷς ἔρεισμα,
Ἄτης κακῆς με σώων.
Καὶ δὴ, πάτερ, σὺ πέτρα,
Καὶ στεῤῥὸν εἷς ἔρεισμα.
Ναὶ τοὔνομ' ἱερόν σου.
Ἄγοις με, λίσσομαί σε,
Ἠδ' ἐξάγοις ὁδηγῶν·
Κἀκ δὴ λίνων με σῶε,
Τά μοι λόχευσαν ἐχθροί.
Ἐμὸν κράτος γὰρ εἷς σύ·

Ψυχὴν

requiem, quam nobis præparâſti in cœlo. Per Jeſum Chriſtum Dominum noſtrum. Amen.

## PSALMUS XXXI. Gratum animum indicans, atque ſupplex.

MEAM ego penitus
Spem in te collocavi,
Domine Omnium præſtantiſſime.
Utinam hæcce mea
Fiducia mihi probro non ſit.
Meis juſtus inimicis
Eripe me, et præbe aurem.
Tu quidem citò mihi opitulare,
Tu rupes mihi eſto;
Et firmum es columen,
Caſu infauſto me conſervans,
Atque adeò, Pater, tu rupes,
Et firmum es columen.
Næ nomen illud tuum ſanctum *eſt*.
Ducas me, obſecro te,
Atque perducas præeundo:
Quinimo a caſſibus me libera,
Quos mihi tetenderunt hoſtes.
Meum robur enim tu es:

Ψυχὴν ἐμὴν, φέριστε,
Ἐς σὰς χέρας τίθημι.
Θεὸς δ' ἐὼν ἀληθὴς,
Ψυχὴν ἐμὴν σαώσεις.
Μισῶ κενῶς ματαίους
Ἔγωγέ σοι πεποιθώς.
Ἄσω, φέριστε, τοίνυν
Ὑπερλίην γανωθεὶς,
Σῆς κῦδος εὐμενείας.
Θλίψεις ἐμᾶς γὰρ εἶδες,
Πάτερ, στενόν τε πρόφρων
Τοὐμὸν πάθος διέγνως.
Οὐ δή με κλείσας ἐχθροῦ
Ἐς χεῖρας οὐλοχάρτου.
Ἐλέαιρε τληπαθῆ με,
Ἐλέαιρε· καὶ γὰρ ὄσσε
Νυστάζετον, νοός τε
Πλάγη, νόος μαράνθη.
Ζωὴ γὰρ οἴχεταί μου
Ἀλγηδόνων ῥοοῖσι
Κλαυθμοῖσί τ' ἐγχυθεῖσα,
Τοὐμόν τε σῶμα δεινῶς
Κενοῖς ἐπ' ὀστέοισι
Δαμθὲν τὸ πᾶν τανύσθη.
Ἐχθρὸς γελᾷ μ', ἐμοῖσιν
Ἠδ' ἐψιᾷ κακοῖσι·
Τοῖς δὲ πέλας θέαμα
Ἀπότροπον πελοίμην,

Στυ-

Animam meam, Clementiſſime,
In tuas manus depono.
Deus quippe cum-ſis verax,
Animam meam liberabis.
Odi vanè mendaces
Ipſe tibi fiſus.
Cantabo, Clementiſſime, igitur
Supramodùm exhilaratus,
Tuæ gloriam clementiæ.
Ærumnas enim meas reſpexiſti,
Pater, arctamque benevolus
Meam perpeſſionem probè-nôſti.
Non ſanè me concluſiſti hoſtis
In manibus exitio-gaudentis.
Miſereſce mei calamitoſi,
Miſereſce: etenim oculi *mei*
Langueſcunt, menſque
Stupet, mens tabeſcit.
Vita enim mea elabitur
Dolorum fluentis
Fletibuſque infuſa;
Meumque corpus graviter
Vacua ſuper oſſa
Exagitatum totum diſtenditur.
Hoſtis ridet me, meis
Atque inſultat malis.
Propinquis quoque ſpectaculum
Averſandum factus-ſum,

Στυγηλὸν αἶσχός εἰμι.
Ὡς ὁ θανὼν, νόσοιο
Λήθης πέσον δι' αἰνῆς·
Ὡς χηραμοῦ * τε κλάσμα
Κεῖμαι, λεῷ τε φροῦδον
Ἄθυρμα· μηχαναί τε
Κακοφρόνων μὲ πάντη
Κλείουσι, τοὶ βίῳ μου
Ἐξαισίους ἐνέδρας
Ὑπέρμορον δέμουσι.
Δούλῳ, πάτερ, πρόσωπον
Τεὸν τεῷ τρανώσας,
Δοῦλον τεὸν φύλαττε.
Οὔ με στυγητὸν αἱρῇ
Αἶσχος· πέποιθα γάρ σοι.
Ψευδηγόροι λάρυγγες
Κωφαὶ τὸ πᾶν γένοιντο·
Ἀλαζόνων δικαίῳ
Δακέθυμα καὶ λαλούντων
Πέλοι βέλεμνα κοῦφα.
Πόσον πέλοι τὸ δῶρον
Τὸ δὴ τεοῖς πορίζεις,
Ἐνώπιόν τε πάντων
Κυδρὸν φόως προφαίνεις!
Κείνους ἑκὰς κελεύεις
Εἶναι χερῶν ἀάπτων,
Θὲς καὶ τεῆς ἀγωγῆς
Ἐν φρουρίῳ βεβαίους.

Abominandum probrum exto.
Ceu mortuus, mente
Excidi oblivionem per gravem.
Et quaſi cavæ-conchæ [vel teſtæ] * fragmen-
tum
Jaceo, populoque evanidum
Ludicrum: machinationeſque
Malevolorum me undique
Claudunt, qui vitæ meæ
Iniquas inſidias
Præter-fatum [per vim, ſcilicet] ſtruant.
Famulo, Pater, facie
Tuâ tuo revelatâ,
Famulum tuum cuſtodito.
Nequaquam mihi inviſum incidat
Probrum; fiſus-ſum enim tibi.
Mendacia guttura
Muta prorſus fiant:
Arrogantium, et *in* juſtum
Mordacia-dicta loquentium
Sint jacula irrita.
Quantum eſt donum
Id ſcilicet quod tuis impertis,
Et in-conſpectu omnium
*Quam* inclytam *his* ſalutem oſtentas!
Illos procul jubes
Abeſſe manibus invictis, [Tyrannorum ſcilicet]
Collocas quoque eos tui ductûs
In præſidio tutos. Sem-

* Conjicerem κεράμȣ teſtæ, ſi ad carminis menſuram quadraret; vel ſi κε pro χη mutare licitum eſſet. χηραμὸς hoc loco pro χηραμὶς uſurpatur.

Ἀεὶ κλέος πέλοιτο
Σοὶ μὲν, πάτερ, γένοιτο
Σοὶ κῦδος, ὅς με σώεις
Ὡς ἐν τόποις ἐρεμνοῖς,
Πολεμοκλόνοις ἐν ὥραις.
Πάμφρικτα τῇ τε καὶ τῇ
Φεύγων, ἔγωγ' ἔειπον,
Θεὸς τὸ πᾶν με λεῖψε.
Εὐχῶν ὅμως ἄκουσας
Ἐμῶν, πάτερ, μόλες τε
Ἐμοῖς κακοῖς ἀρωγὸς,
Πρόφρων με καὶ σάωσας.
Θεὸν φιλεῖτε, πάντες
Ὠθλοί. Θεὸς γὰρ ἐσθλοὺς
Πιστῶς φύλαξε πιστοὺς,
Ἀνδρῶν κακοὺς χαλέπτων.

ΚΥ'ΡΙΕ παντοδύναμε, σὺ μὲν τὴν σου πρόνοιαν μάλιστ' ἐθέλεις φαίνειν ἐν τῇ τῶν παίδων σου σωτηρίᾳ, καὶ δὴ τούτους μαστιγῶν· δὸς ἡμῖν τοὺς τῆς εὐκαίρου βοηθείας σου ἐν χαλεπωτάτοις κινδύνοις αἰσθομένοις, μὴ ποτὲ τούτων ἐπιλαθέσθαι δώρων· καὶ ὁποιῳδήποτε ἐπασχοίμεθα τρόπῳ, πᾶσαν ἡμῶν ἐν σοὶ ἐπιστηρίζειν ἐλπίδα, τῷ μὲν λυσιτελῶς βοηθήσοντι, καὶ δὴ τῆς τε ζωῆς καὶ τῶν δικαίων ἡμῶν ὑπερασπιστῇ γενησομένῳ· ὥστ' ἐν τούτῳ τῆς ἀγαθωσύνης ἐς ἡμᾶς σῆς τεκμηρίῳ, ἡμεῖς τε καὶ ἅπαντες πιστοὶ πρόφασιν λαμβάνωμεν τοῦ δοξάζειν τὸ ὄνομά σου, καὶ ἐλπίζειν σοι, μέχρι ἂν ἡμεῖς ὁλόκληρον ἐκείνην ἐπουρανίου κληρονομίας εὐδαιμονίαν ἐπεμβαλώμεν. Ἐν μεσιτεύοντι υἱῷ σου. Ἀμήν.

ΨΑΛΜΟ'Σ

Semper honor ſit
Tibi quidem, Pater, ſit
Tibi gloria, qui me ſalvum-præſtes
Quaſi in aſylis
Bellici-tumultûs temporibus.
Quum maximè-terribilia quaquaverſum *olim*
Aufugerem, ego dixi,
Deus prorſus me dereliquit.
Attamen preces exaudîſti
Meas, Pater, atque adveniſti
Meis anguſtiis adjutor,
Benevoluſque me conſervâſti.
Deum diligite, omnes
Boni. Deus etenim bonos
Fideliter cuſtodiit fideles,
Homines noxios peſſumdans.

OMNIPOTENS Deus, qui providentiam tuam vis maximè elucere in tuorum ſalute, etiam dum illos caſtigas: da nobis, qui opportunum auxilium tuum in graviſſimis periculis noſtris experti ſumus, ut tantorum beneficiorum nunquam obliviſcamur: noſtram verò ſpem omnem in te collocemus, quibuſcunque tandem modis exerceamur, nobis commodè affuturo, noſtræque & vitæ & cauſæ patrocinium ſuſcepturo: ut in ſingulari illo bonitatis tuæ erga nos effecto, & nos & alii omnes fideles habeamus argumentum celebrandi nominis tui, & ſperandi in te, donec perveniamus ad cœleſtis illius hæreditatis plenam poſſeſſionem. In unigenito Filio tuo. Amen.

## ΨΑΛΜΟ'Σ μγ', χελιαστικῶς κυκλικός.

Genus Archilochium dactylicum cum Iambico ſenario catalectico. Tricolon diſtrophon.

| | 1 | 2 | 3 | 4 | 5 | 6 | 7 |
|---|---|---|---|---|---|---|---|
| Archiloch. | - ◡ ◡ / — | - ◡ ◡ / — | - ◡ ◡ / — | - ◡ ◡ | - ◡ | - ◡ | - ◡ / — |
| Iamb. Catal. | ◡ - / — | ◡ - | ◡ - / — | ◡ - | ◡ - | - ○ \|\| | |

ἈΝΤΙΛΑ'ΒΕΥ, ὤριστε δικασπόλε, τῶν ἐμῶν δικαίων,
Κἀμοῦ ὑπερμάχου ποτὶ τοὔλεός σου,
Ἐχθρῶν καὶ ἐμῶν κακῶν τε κἀπιτέχνων.
Ἄττα πάτερ, τ' ἐμὶν τελέθεις σθένος οἶος, ἄλκαρ, οὖρος,
Τίπτ' οὖν τανῦν με παρτρέχεις ἀκηδῶς;
Ἐχθρῷ τί τε γέλως καὶ βίη πελοίμην;
Εἰ δ' ἄγε νῦν φώτιζε τεὸν κράτος, ἀτρεκές τε μύθων
Τῶν σῶν τάνυσον· τοί μοι καλᾶς μετ' αἰδοῦς
Τεὰ πρὸς ἱερὰ ἡγεμόνες πέλοιντο.
Ἔνθοι ἐγὼ θαῤῥοῖμι περᾶν ἀβέβηλον εὐόδμοιο
Πρὸς τοὔδαφος βωμοῖο, καὶ λυρίζων
Θεὸς, Θεός μου, γηθόσυνος σὲ μέλψω.
Τίπτε τανῦν μου θυμὲ διάνδιχα μερμεραῖς θυέλλαις
Κηδέων θαμίζεις; θάῤῥει, ἦδ' ἕκηλος
Θεῷ ἀείσω ῥυτίους ποτ' ὕμνους.

ΚΥΡΙΕ

PSALMUS XLIII. Luctuosè ſupplex.

ASSERE, optime judex, meum jus,
Et mihi patrocinare, ſecundùm miſericordiam tuam,
Inimicos contra meos, ſceleſtoſque inſidiatores.
Solus meum es robur, mi Pater, præſidium, cuſtos,
Quorſum igitur nunc me præteris incuriosè?
Inimico quorſum verò ludibrio, et contumeliæ eſſem?
Agedum nunc illuſtra tuum robur, veritatemque verborum
Tuorum pande; quæ mihi dignâ cum reverentiâ
Tua ad ſacra duces ſint.
Dein ego confidam accedere *ad* ſacro-ſanctum bene-olentis
Aræ *tuæ* atrium; atque citharâ-canens,
Deus, Deus mi, lætabundus te celebrabo.
Quorſum nunc, animule mi, huc-et-illuc vexantibus procellis
Curarum tam-frequenter-incedis? Confidito, atque tranquillus
Deo canam, aliquando-tandem ſalutis hymnos.

OMNI-

ΚΥ'ΡΙΕ παντοδύναμε, ἐπεὶ τόσοις περιστοιχιζόμεθα ἐχθροῖς, καὶ δύναμις οὐδεμία ἐν ἡμῖν ἐστιν ἀνθιστάναι· σὺ τὰ ἡμῶν σῶζε, καὶ σαυτὸν τοῖς ἡμῶν ἐχθροῖς ἀντιπαράταττε. ἐκεῖνοι δή σε τῶν ἡμετέρων αἴσθωνται ὑπερασπιστὴν δικαίων. ὥσθ' ἡμεῖς τῆς σῆς φυλακῆς πληροφορίᾳ τῇ ἐκ τοῦ λόγου σου, κραταιούμενοι, μὴ ὀῤῥωδῶμεν ἐκείνων ἢ κράτος ἢ ἀπειλάς· ἀλλ' ἐπερειδόμενοι τῇ σοῦ προνοίᾳ, ἐπιεικῶς προσδοκῶμεν τῶν ἡμετέρων ἀγώνων τέλος, πρὸς δόξαν τοῦ ἱεροῦ ὀνόματός σου καὶ ἡμετέραν σωτηρίαν. Διὰ Ἰησοῦν Χριστόν. Ἀμήν.

## ΨΑΛΜΟ'Σ μθ'. διδακτικός.

Genus Heroicum, vid. Idyllia.

Ὤ ΝΘΡΩΠΟΙ ξύμπαντες ἀκούετε, ἠδ' ἅμα πάντες,
Πάντες ἅμ' ὅσσοιπερ πολυχανδέα ναίετε γαῖαν,
Ῥητοί τ' ἄῤῥητοί τε, πενιχροί τ' ἀφνειοί τε.
Ξυνὸν ἐγὼ μῦθον ξυνοῖς στομάτεσσιν ἐνισπών,
Παμπινυτῇ πραπίδας μελέτῃ ἠδ' οὖατα θήσω,
Κἂν κιθάρης φθόγγοισι μέγαν θρόον ἐξιχνεύσω.
Τίπτε δ' ἐγὼ τρομέοιμι κακῷ ἐνὶ πήματι κύρσας;
Ὁππόθ' ὑπερφιάλων ἀνδρῶν μῦθος ἀμφιβάληται
Ἴχνος ἐμόν, καὶ δόλον ἐμοὶ λόχον ἐγκρύπτῃσι.
Τοὶ καὶ δὴ πλούτοιο κράτει ἐπιγαυρόωντες,

Οὐκ

OMNIPOTENS Deus, quandoquidem tot hoſtibus circumvenimur, nullaque in nobis eſt obſiſtendi facultas: tu noſtras partes tuêre, téque illis adverſariis noſtris potenter oppone. ſentiant illi te noſtræ cauſæ vindicem & patronum, ut nos tui illius præſidii fiducia, qualem ex verbo tuo concepimus, non pertimeſcamus illorum aut potentiam aut minas: ſed innitentes providentiæ tuæ, quietis animis exitum certaminum noſtrorum expectemus, ad nominis tui gloriam & noſtram ſalutem. Per Jeſum Chriſtum. Amen.

## PSALMUS XLIX. Doctrinam tradens.

O HOMINES cuncti, auſcultate, et ſimul omnes,
Omnes ſimul, quotquot capaciſſimam incolitis terram,
Nobiles ignobileſque, pauperes diviteſque.
Socium ego ſermonem ſocio ore dicens
Sapientiſſimæ meditationi pectora atque aures intendam,
Et citharæ voce altum clamorem ſequar.
Quorſum ſanè ego metuam, *ſiquidem* malum in caſum inciderim?
Quum ſuperborum hominum rabies obſederit
Veſtigia mea, et pernicioſas mihi inſidias ſtruxerit.
Hi enim quantumvis divitiarum potentiâ ſuperbientes,

Nequaquam

Οὐκ ἄρα τώς κε φίλους θανάτου μὲν ἔχοιεν ἀρῆξαι,
Οὐδὲ θεῷ πάμπαν λύτρου γέρας ἐξαποτῖσαι,
Λύτρον δὴ ζωῆς μάλα τίμιον. ἄπλετος ἀλκὴ
Πᾶσι πέλει θανάτου· καίπερ ζωῆς γλυκὺς οἶστρος
Μὰψ τῶν ἦρε φρένας. μέγα νήπιοι, οἷα δύναιντο
Ἐκκλίνειν δυνατοῖο πύλας μοῦνοι ἀΐδαο.

Οὐχ ὁρόωσι σοφοὺς ἀσόφους θ' ὅτι μάρπτεν ἀνάγκη
Πασσυδίῃ ξύμπαντας ὁμοιΐου θανάτοιο,
Καὶ φίλον ἀγνώστοισι μάτην κτέρας ἐκλείποντας;
Οὐδ' ἄρα παμπήδην στιβαροὶ ἐπιμηχανόωνται
Ἀθανάτους οἴκους καὶ ἀτέρμονας ἐμπήξασθαι,
Ὧν δὴ κῦδος ἄλαστον ἐπεσσομένοισι γενέσθαι,
Κῦδος ἐπωνυμίῃσιν ἐπεμπυκάσαι σφετέρῃσιν.

Οὐδ' ἔμπης τῶν δῆθεν ἐπεμμένει κλέος ἀνδρῶν
Ὠκυμόρων, τοὶ καὶ ζώων νόμῳ ἐξαπολοῦνται.
Αὐτὰρ νηπιέῃσι βίου τόσσαις μετέωρον
Παῖδες ὑπέρμωροι λάβραις ἀπέρχουσι κελεύθοις,
Κύμασιν ἐμβρίθοντες ἐρισμαράγοιο θαλάσσης.
Ὡς ζώων ἀγέλαι σφαγίμων βρῶσις θανάτοιο
Οἰχόμενοί κε γένοιντο πολυκλαύστοις ἐνὶ τύμβοις.

Ἐσθλῶν δ' ἐκλάμπῃ καλὸν φάος ἔξοχ' ἐπ' ἠοῖ

Εὐσε-

Nequaquam tamen ſic amicos *ſuos a* morte valebunt vindicâſſe,
Neque Deo ullo-modo redemptionis pretium perſolviſſe;
Quippe *quòd* pretium *pro* vitâ inæſtimabile: immenſa vis
*In*-omnes mortis eſt; quamvis vitæ ſuavis ardor
Nequicquam iſtorum occupaverit mentes: magnoperè ſtupidi, quaſi valuerint
Soli devitare potentis portas Orci.
Nonne vident ſapientes inſipienteſque quòd corripit neceſſitas
Omni-*ſuo*-impetu univerſos paris fati,
Et quòd dilectas opes ignotis fruſtra cedunt?
Cùm itaque minimè ſtabiles *ſint, tamen* moliuntur
Ut Immortalia domicilia et ſempiterna infigant *ſolo*,
Quorum utique gloria indelebilis poſteris foret,
Gloriam ut cognomentis concilient-et-perpetuent ſuis.
Nec tamen iſtorum videlicet perdurat gloria hominum
Caducorum, qui etiam beſtiarum ritu emorientur.
Sed *inter* ineptias tantas vitam fluctuantem
Liberi admodum-vecordes impetuoſis urgent viis,
Fluctibus ſubſidentes valdè-ſonantis maris.
Perinde-ac beſtiarum greges mactandarum eſca mortis
Defuncti fient lugubribus in tumulis.
Bonorum autem effulgebit alma lux egregiè cum aurorâ

Lauri-

Εὐστεφάνου νίκης γέρας ἄφθιτον ἐξαγλαΐξαν.
Οὐλομένων μὲν ὄλωλ᾽ ἀνδρῶν κράτος, αἶψα δόμων ἐξ
Παμφλεγυρῶν δύντες θανάτου σκιόεντα μέλαθρα.
Αὐτὰρ ἐγὼ θανάτοιο φύγω κράτος, ὥς με σαωτὴρ
Ἀθάνατος φίλον ὡς κειμήλιον ἐγγυαλίξει.
Ὁππότε πλουτήσειεν ἀνήρ, ἠδ᾽ ἤρατο κῦδος
Ἐκ πλήθευς ἀφένου, μὴ τάρβει. οὐ γὰρ ἐκεῖνος
Ὁππότε καππέσσῃ θανάτου πάλῳ οὔποτε δῆθεν
Παμπληθεῦς ἀφένου ἢ κύδευς φορτίον οἴσει.
Οὐδ᾽ ὄφελος ποτ᾽ ἔοι τῶν ἐν βιότοιο τροχοῖσι
Νήπιος ἐκθάμβεσκεν, ἀγαλλόμενος πετεηναῖς
Εὐφροσυνῶν δίνῃσι, καὶ ὀλβίζων τὰ δρόωντας,
Ἄδου δ᾽ εἰσδύνῃσιν ὁδὸν προγόνων λιποφεγγής.
Ὤνθρωποι τάδε γοῦν, τάδ᾽ ἀκούετε. ὅστις ἀγαστῷ
Αἰρόμενος κύδει σοφίης ἄπο θυμὸν ἐρύκει,
Μαργαίνων, φέγγος ξυνῶν πραπίδων ὀνοτάζων
Οὐ πέλει ἄνθρωπος, ζώοις ἐναλίγκιος ἄντην,
Ὠκυμόροις ζώοισι, τὰ δὴ ὀλλοίατο πάμπαν.

ΚΥΡΙΕ παντοδύνατε, ἐπείπερ ἡ τοῦ κόσμου ἀλαζὼν κενότης τῇ ἐκκλησίᾳ σου ἐπηρεάζει, δὸς ἡμᾶς ὑπ᾽ ἀσφαλοῦς τῆς ἀληθείας σου πληροφορίας τὰς ψυχὰς θεμελιοῦν, σοῦ δὲ λόγου διδαχὴν ἐκείναις ἐνδοτέρω ἐπισφραγίζεσθαι· ὅπως ἡμεῖς φοβούμενοί σε, τὰς τῶν ἀνθρώπων ὁρμὰς μὴ φοβώμεθα. ἀλλὰ

δὴ

Laurigeræ victoriæ præmium immarceſſibile *eos* exornans.
Pernicioſorum equidem occidit hominum imperium, ſubitò ædibus ex
Præfulgentibus ſubeuntes mortis opacas ſedes.
At egò mortis effugiam imperium, ita me Salvator
Immortalis, carum ut depoſitum, reddet.
Quandocunque diteſcet homo, atque conciliabit honorem ſibi
Ex abundantiâ opum, ne ſtupeas; non enim ille
Quum ceciderit in mortis ſortem ullo ſcilicet pacto
Prædivitis copiæ aut honoris ſarcinam *ſecum* auferet.
Neque uſus olim erit eorum, *quibus* in vitæ curriculo
Stultus inhiabat, exultans fluxis
Voluptatum gurgitibus, et felices-prædicans eadem agentes;
Orci enim ſubibit viam Majorum lucem-linquens.
O homines! hæc demum, hæc auribus-percipite. Quicunque ſtuporem-adferente
Auctus honore, a ſapientiâ animum abſtrahit
Inſaniens, lumen intelligentiæ vituperans,
Non eſt homo, beſtiis ſimilis e-contrà,
Citò-perituris beſtiis, quæ ſanè totæ interibunt.

OMNIPOTENS Deus, quandoquidem inſolens mundi vanitas Eccleſiæ tuæ inſultat: da ut certa veritatis tuæ perſuaſione animos noſtros muniamus, tuíque verbi doctrinam illis penitus infigamus: ut te timentes minimè reformidemus hominum conatus: quin po-

δὴ καὶ ἀθροῦντες τοῦ ὀλλυμένου κόσμου κενότητα, τὸν ἀληθῆ πλοῦτον ἐν σοὶ ζητῶμεν, τῇ γ' ἀληθεῖ ἡμῶν καὶ αὐταρκεστάτῃ εὐδαιμονίᾳ. τῷ δ' ἡμῶν καθημερινῷ ἀρκεσθησώμεθα ἄρτῳ, ὃν δὴ ἡμῖν αἰτοῦσιν οὔποτ' ἐπαρνήσῃ· ὅπως δὴ τῆσδε τῆς ζωοποιοῦ διδαχῆς ἀπρὶξ ἐπιλαβόμενοι, μόνον σε προσδοκῶμεν, καὶ τοῦ κόσμου ἀπαλλαξάμενοι, διατελῶμέν σε λατρεύοντες ἡμεῖς, ἐν τῇδε τῇ γῇ παρεπιδημοῦντες· μέχρις ἂν ἡμᾶς συλλέγῃς εἰς αἰωνίους τάσδε σκηνὰς, ἐν αἷς ἀληθῆ ἡμῖν κατέθηκας πλοῦτον. Διὰ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν. Ἀμήν.

## ΨΑΛΜΟ`Σ ξβʹ. διδακτικῶς εὐκτικός.

Genus Iambicum trimetrum, ſive ſenarium Acatalecticum, ut in Pſalmo XVI.

Et

Iambicum dimetrum, ſive quaternarium Acatalecticum.

Dicolon diſtrophon.

| 1 | 2 | 3 | 4 |
|---|---|---|---|
| ⏑ – <br> – | ⏑ – | ⏑ – <br> – | ⏑ – <br> ⏑ |
| Metrum 1. | | Metrum 2. | |

ἘΜΟ`Σ μόνῳ νοῦς τῷ Θεῷ στέργων, ἀκὴν
Ἕστηκεν· ἐξ ὅτου Θεοῦ
Ἐλπὶς βεβαίας ἐστί μοι σωτηρίας,
Ἐρεμνὸν ἕρκος· οὐκ ἐγὼ

Βάθροις

tius perſpicientes pereuntis mundi inanitatem, quæramus veras divitias in te, qui noſtra es vera felicitas: contenti ſimus pane noſtro quotidiano, quem nobis petentibus minimè es denegaturus: ut iſtam vivificam doctrinam firmiter amplexi, te unum expectemus, mundi fiducia repudiata, conſtanter perſeveremus in obſequio tuo, dum in his terris peregrinamur: donec nos colligas in tabernacula illa æterna, in quibus veras & ſempiternas divitias nobis repoſuiſti. Per Jeſum Chriſtum Dominum noſtrum. Amen.

## PSALMUS LXII. Doctrinam tradens et ſupplex.

MEA unico in Deo mens acquieſcens ſilentium
 Præſtat: a quo Deo
Spes certæ eſt mihi ſalutis
 Umbrifero ſepto; ego

Βάθροις ἐρείδων τοῖσιν, οὐκ ὀλισθανῶ.
    Ἆ δειλοὶ, ἄχρις οὗ κακὸν
Φυτεύσετ' ἐσθλοῖς ἐγκλόπων δόλων ποραῖς;
    Ἀλλ' ὔμμε * δὴ καὶ λοίσθιον
Ἄτην πεσεῖτε, σαθρὸν ὡς ἐρείπιον,
    Προθέλυμνον ἐξολωλότες·
Φράζεσθε δ' ἔμπης παγκρατὲς χαλεπτέμεν,
    Ὃν ἂν θεὸς βρᾷν θέλοι.
Φιλεῖτε ψεῦδος, ἄλλο καὶ κεύθει νόος,
    Ἠδ' ἄλλο καὶ λέγει στόμα.
Σὺ δ' ἄτλα, θυμὲ, τῷ θεῷ στέργων, ἀκὴν
    Γενοῦ σιωπῇ· ἐξ ὅτου
Ἐλπὶς βεβαίας ἐστί μοι σωτηρίας,
    Ἐρεμνὸν ἕρκος, οὐκ ἐγὼ
Ὀλισθανῶ πη. ἔνθε ζωῆς καὶ κλέους
    Ἐμοῦ τε τυγχάνει κράτευς
Ἐλπωρά· ἔνθεν, ὦ λεῴ, τὰς ἐλπίδας
    Κρεμᾶτε, καὶ κακῶν ἄκος
Ἔνθεν λάβοιτε. καὶ γὰρ ἐκ κείνου μόνου
    Ἐλπὶς βέβαιον ἱστάνει.
Βροτοὶ πέλονται χρῆμα φροῦδον, ἐκφανὲς
    Ψεῦδος, μεγαλωστὶ χ' οἱ κρατεῖν
Δοκοῦντες. εἰ τοὺς καὶ τὸ κενὸν θήκαις ὁμοῦ
    Πλάστιγγος ἐν ταυτῆς ῥοπαῖς,
Βαρύτερον εἴη τὸ κενὸν ἀνδρείου κράτους.
    Οὐ δὴ βίῃ, οὐ δὴ κακαῖς
Πείθοιο μηχανῇσιν, οὐ κενῶν ῥόφει

* Licentiâ fortè poet. pro ὔμμες, idque Æolicè pro ὑμεῖς.

Μάταιοι

Fundamentis innixus hiſce, nequaquam corruam.
Ah miſeros! quouſque malum
Seretis *in* Bonos tectarum fraudum ſeminibus?
Quinimo vos tandem
Collapſuri-eſtis, ruinoſæ tanquam ædes,
Funditus peſſumdati.
Atqui intenditis-animum tamen, ut totis-viribus deprimatis,
Quem Deus elatum vult.
Amatis mendacium, et aliud occultat mens,
Cùm aliud etiam enunciat os.
Tu verò, O anime mi, in Deo acquieſcens, tranquillus
Sis *cum* ſilentio: Ex quo
Spes certæ eſt mihi ſalutis,
Umbrifero ſepto, ego
Neutiquam corruam. Illinc vitæ et gloriæ,
Meique contingit *mihi* roboris
Fiducia; ab hoc, O populi! ſpes *veſtras*
Suſpendite, et malorum remedium
Hinc capeſſite. Etenim ex illo ſolùm
Spes firmiter conſtat.
Mortales ſunt res frivola, manifeſtum,
Mendacium, vel qui magnificè imperitando
Clari-ſunt: ſiquidem hos et vanitatem ipſam componas
Lancis hujus in libramento,
Præponderabit vanitas *illi* humanæ potentiæ.
Ne verò injuriæ, ne verò pravis
Fidas artibus; neutiquam vanæ haurito

Μάταιον ἐλπίδων κόρον.
Ἂν πλοῦτος εὐθενοῖ, κενὸν οὐ τίθει νόον
Τοιοῖσδ' ἀθυρμάτων ῥόοις.
Τόδ' εἶπε τρὶς καὶ τετράκις ἀληθὴς θεὸς,
(Ἤκουσα δὴ λόγων ἐγὼ)
Πέλειν ἓ μοῦνον πανδύνατον· σὺ καὶ μόνος,
Ἀθάνατε, πανάγαθος πέλεις.
Σὺ μὰν ἑκάστῳ ἀντιμισθώσεις γέρας,
Ἔργοις σφετέροις ἰσόῤῥοπον.

ΚΥ'ΡΙΕ παντοκράτωρ, ἐπεὶ ἐν ταλαιπώρῳ τῷδε τῷ βίῳ αἱ ἡμέτεραι ψυχαὶ θορυβωδῶς περιφέρονται ἐπὶ πόσαις ἀσεβῶν προσβολαῖς· δὸς ἡμᾶς διὰ τὴν δὲ τῶν πραγμάτων πικρότητα τοῦδε κόσμου ἔρωτος ἀπειρηκότας, τὴν τῶν ἀνθρώπων κενότητα καταραᾶσθαι αὐτῆς τῆς κενότητος κενωτέραν. ὥστέ σε τυγχάνειν ὄντα τῆς ἡμῶν εὐδαιμονίας τε καὶ στεῤῥότητος βάθρον· ὅνπερ ἀσφαλῶς οἴδαμεν παντελῶς ἀγαθόν τε καὶ παντελῶς δίκαιον, τοῦ ἀντιμίσθοις ἐκείνους ποιναῖς κολάζειν, καὶ ἡμᾶς διὰ τὴν ἀγαθότητα σοῦ διασώζειν. Διὰ Χριστὸν Ἰησοῦν. Ἀμήν.

## ΨΑΛΜΟ'Σ οθ'. σχετλιαστικός.

Genus idem ac in priore.

ΚΛΗ῀ΡΟΝ, φέριστε, πρὸς τεόντ' ἔθνη μόλον,
Τεὸν μίηναν καὶ νεὼν,
Σαλήμ τ' ἔπερσαν, καὶ τεῶν ἑλώρια

Vanam expectationis ſatietatem.
Si opes affluant, vanum ne adjungas animum
Hiſce crepundiis fluxis.
Hoc dixit ter quaterque verus DEUS,
(Audivi ſanè verba ego)
Extitiſſe ſe ſolum omnipotentem: tu pariter ſolus,
O IMMORTALIS, omnibus-numeris-bonus es.
Tu enimverò unicuique rependes præmium
Operibus ſuis æquilibre

OMNIPOTENS Deus, quoniam in hac miſera vita animi noſtri anxiè circumferuntur inter tantos impiorum inſultus, da ut rerum iſtarum amaritudine, vano mundi amore abdicato, deteſtemur vanitatem hominum vanitate etiam ipſa vaniorem: ut tu unus ſis fundamentum noſtræ felicitatis atque conſtantiæ, quippe quem certò nôrimus & ſummè bonum & ſummè juſtum: ut & illos meritis ſuppliciis plectas, nos verò pro bonitate tua conſerves. Per Chriſtum Jeſum. Amen.

## PSALMUS LXXIX. Lamentabilis.

SORTEM, Præſtantiſſime, tuam ſanè gentes
invaſerunt,
Tuum inquinârunt quoque templum,
SALEMQUE depopulatæ-ſunt, atque tuorum *in*
prædam

Δȣ́λων δόσαν τὰ σώματα
Θήρεσσί τ' οἰωνοῖς τε· ϗ Σαλὴμ πέριξ
Τῶν χεῦαν αἷμα, ϗ τάφȣ
Τȣ̀ς ἠξίωσε μηδόλως μηδείς· γέλως
Τοῖς γείτοσιν ἦμεν, τοῖς πέλας.
Μέσφ' ἂν, κράτιστε, μέσφ' ἂν ἄχθεαι; τεὸς
Κότος, οἷα πῦρ, φλέξει τ' ἀεί;
Ὀργὴν ἐπ' ἔθνη χεῦον εἰς τ' ἀρχὰς τεὴν,
Ὑφ' ὧν ἀτιμάζῃ, πάτερ.
Φάγον Ἰάκωβον, ϗ στέγην πόρθȣν τεȣ̃
Κεῖνοι λεὼ οἱ ἀλάστορες.
Μὴ μνῶ, φέριστε, τῶν σὺ δ' ἀμπλακημάτων
Τῶν ἡμετέρων· σὺ δ' εὐμενὲς
Τάχιστα φαίνειν προφθάσῃς ἡμῖν τεόν.
Ἄμμες γὰρ ἄμμες λείπομεν.
Τεοῖο, σῶτερ, πρὸς κλέȣς ἡμῖν μόλοις
Ἀρωγὸς ἄμμι καίριος·
Ἡμᾶς φύλαξον ἐσθλὸς, ἠδ' ἁμαρτίαις
Ἵλαος ἡμῖν προσδράμοις.
Τίπτ' ȣ̃ν λέγοιεν νῦν μὲν ἔθνη, Πȣ̃ θεός;
Πȣ̃ δὴ πέλοι τȣ́τοις θεός;
Ἔρχοιτο σῶκος τοῖς ἑοῖς ἀγχέσπαλος,
Ἔρχοιτο, καὶ παλιντίτȣς
Ποινὰς ἐπισχὼν αἵματος ἐκκεχυμένȣ
Δȣ́λων ἑῶν, φίλων ἑῶν.
Ὦναξ φέριστε, θρῆνος ἄντα σȣ̃ γόων

Τῶν

Servorum objecerunt cadavera
Feriſque volucribuſque: necnon SALEM circumcirca
Horum fuderunt ſanguinem, et ſepulchro
Hos dignatus eſt planè nemo: ludibrio
Vicinis eramus, proximis.
Quouſque, Clementiſſime, quouſque iraſcêris? tua*ne*
Iracundia, quaſi Ignis, ardebit etiam ſemper?
Furorem in gentes effunde, et in poteſtates tuum,
Per quas contumeliâ-affectus-es, Pater.
Vorabant *eæ* Jacobum, atque tectum demoliebantur tui
Populi iſtæ in-perpetuum-exſecrandæ.
Ne verò in-memoriam-revoces, Benigniſſime, tu delicta
Illa noſtra: ſed tu, ad clementiam
Quàm-celerrimè oſtendendam nobis tuam, prævenias.
Nos enimverò nos deficimus.
Tui nominis, Salvator, nobis accedas
Auxiliator nobis opportunus:
Nos cuſtodias bonus, atque peccatis
Propitius nobis accurras.
Quorſum tandem dicerent gentes? ubinam *eſt* DEUS?
Ubinam ſcilicet aderit iſtis DEUS?
Aderit Servator ſuis haſtam-vibrans,
Aderit, atque-adeò debitas
Pœnas repoſciturus ſanguinis effuſi
Servorum ſuorum, amicorum ſuorum.
Domine Clementiſſime, coram te luctuoſæ ejulationes

Immaniter

Τῶν αἰνὰ δεσμώτεων περῶ,
Τοὺς δὴ ἐπ' οὐδῷ κειμένους κρυεροῦ μόρου,
Δι' ἰσχυρᾶς χερὸς ῥύου.
Σὺ δ' ἀντάμειβον, οἷς πέλας σὺ δ' ἔκδικος
Τὸ ἑπταπλοῦν ἐγκάτθεο
Μιαροῖσι κόλποις, καὶ βλάβην δίδου βλάβαις,
Φέρμσε, τοί σε καθεψίων.
Ἀλλ' ἄμμες αἰεὶ σὸς λεὼς, καὶ ποιμνίου
Τὸ ποίμνιον, σὲ νωλεμὲς
Ὑμνοῖμεν, αἰὲν εὐκλεοῦντες τοὔνομα
Τὸ σὸν, πάτερ, διαμπερές.

ΚΥΡΙΕ παντοκράτορ, ὁμολογοῦμεν ἡμεῖς ἐνώπιον τῆς σοῦ μεγαλειότητος, τὰς ἡμῶν ἁμαρτίας τῶν ἡμετέρων θλίψεων ἀληθεῖς εἶναι αἰτίας. σὺ μὲν γὰρ ὁ δίκαιος Θεὸς, ἡμῖν δικαίως ὀργισθεὶς, ἔθηκας ἡμᾶς ἐς χεῖρας ἡμετέρων ἐχθρῶν. οὐχ ὅμως γε διαφθείρειν ἐθέλεις οὕσπερ ἀπελυτρώσω διὰ πολυτίμου τοῦ υἱοῦ σου αἵματος, ὥσθ' ἡμᾶς εἶναι τὴν κληρονομίαν σου, λαόν σου, τὰ πρόβατα τοῦ ποιμνίου σου. ὅρα γοῦν, Πάτερ βέλτιστε, ὅσον ἐμμανῶς οἱ τῆς ἀληθείας σου ἐχθροὶ τὴν ἐκκλησίαν σου ἐκπορθοῖεν, ὡσπερανεὶ ταύτην πανωλέθρως διαφθεροῦντες. καὶ δὴ μάλιστα, τὸ τῆς θλίψεως ἡμῶν μέγιστον, τῇ ἀληθείᾳ σου ὑπεργοργῶς ἐναλλοιντο, ὡς δὴ ἐν ἡμῖν τετραυματισμένῃ τε καὶ νενικημένῃ. καταγελῶσιν ἐκεῖνοι τῆς ἡμετέρας τῆς ἐν σοὶ πληροφορίας, καὶ τρυφῶντες ἀναζητοῦσι ποῦ τυγχάνεις ὤν. ἀνάδειξον τούτοις σὲ μὲν μεθ' ἡμῶν εἶναι, τοῦ σώζειν ἡμᾶς, τούτους δὲ δικαίως ἀποτιμωρεῖν· ὅπως ἡμεῖς οἱ παῖδές σου εὐχαριστῶμέν σοι τοσαύτης χάριν ἐλευθερώσεως· ἄχρι ἂν τῆσδε τῆς στρατείας ἐλευθερωθέντες, τούτῳ στεφάνῳ δωρηθησόμεθα

ὅνπερ

Immaniter vinctorum perveniant:
Eos ſanè in limine jacentes gelidæ mortis,
Validâ manu eripe.
Tu autem talionem, vicinis illis tu autem vindex
Septuplam repone
Inquinatum *in* ſinum, et noxam redde pro noxis,
Præſtantiſſime, *eis* qui te dicteriis exceperint.
Atqui nos ſemper tuus populus, et ovilis *tui*
Grex, te perpetuò
Cantabimus, ſemper concelebrantes nomen
Illud tuum, Pater, in æternum.

OMNIPOTENS Deus, fatemur coram tuâ majeſtate, noſtra peccata noſtrarum afflictionum veras eſſe cauſas. Tu enim juſtus Deus, juſtè nobis iratus, poſuiſti nos in manus hoſtium noſtrorum: non tamen vis nos perdere, quos redemiſti pretioſo ſanguine Filii tui, ut tua ſimus hæreditas, populus tuus, oves paſcui tui. Vide ergo, Pater optime, quo furore hoſtes tuæ veritatis Eccleſiam tuam devaſtent, tanquam ultima internecione eam deleturi: præcipuè verò (quod maximum eſt noſtrarum afflictionum caput) inſultent ferociter tuæ veritati, quaſi per noſtra latera perfoſſæ, & in noſtris perſonis victæ. Irrident illi eam fiduciam quam in te collocavimus, & quærunt jocantes ubínam ſis. Oſtende illis te eſſe nobiſcum, ut nos conſerves, illos verò tandem juſtis ſuppliciis plectas: nos autem filii tui gratias pro tanta liberatione tibi immortales agamus: donec militia iſta defuncti, donemur ea co-

rona

ὅνπερ ἡμῖν ἐν ὐρανοῖς καλέθηκας. Διὰ Ἰησῦν Χριςὸν ὑόν σῦ. Ἀμήν.

ΨΑΛΜΟ`Σ πδ', χελλιαςικῶς δὐκλικός.

Genus Alcaicum, ut Pſal, XI.

ὯΝΑΞ, ὦ πολέμων αὐτοκράτορ, τόσον
Νεὼ σεβαςόν μοι πέδον ἦ τεῦ.
Ἐκςὰς ὑπερπηδᾶ νοός μοι,
Τὐμὸν ὑπερποθέον κέαρ τε
Σκαίρει, δέμας καὶ τὐμὸν, ὅπως τεὸν
Ἔγωγε λεύσω, παμβασιλεῦ, νεών.
Ὤμοι ἐγὼ, ςρῦθος καλιὴν
Τεῦξεν ἐκεῖ, κάμε καὶ χελιδὼν
Φίλοις νεοσσοῖς χηραμόν· ὦ τεῦ
Ναοῖο βωμὺς, ὦ ἄνα, τὺς ἔχεις.
Τεῷ μάκαρ ναίων ἐν οἴκῳ,
Ἀϊδίοις σὲ σέβων ἐφ' ὕμνοις.
Ἐν σοί γ' ὁ θήκας ἐλπίδα καὶ κράτος,
Τεὴν κέλευθον χὠ κραδέων, μάκαρ.
Χὠ δυςβάτυς βήσσας ἀβλάπτοις
Ποσσὶ βιβῶ, λιπαρὰς τε πηγὰς
Τόποις ἀνύδροις εὗρεν ἀμηχάνοις,
Πληροῖ διαύλυς ἠδ' ὀχέτὺς ὕδωρ.
Τὺς καὶ πόνος κάρτ' ἐμπυκάσσει,
Ἀθανάτυ κίχον ὥς κε ναόν.

Ὦναξ,

rona quam nobis repoſuiſti in cœlo. Per Jeſum Chriſtum Filium tuum. Amen.

## PSALMUS LXXXIV. Luctuosè ſupplex.

DOMINE, O armipotens bellorum præſes,
quàm
Venerandum mihi templi limen eſt tui!
Ad-alienationem ſalit mens mihi,
Atque meum percupidum cor
Palpitat, [lætitiâ] corpus quoque meum, ut tuum
Ego viſam, ſumme-Rex, templum.
Hei mihi! paſſer nidum
Struxit illic, labore-paravit etiam hirundo
Caris pullis cavernam: Oh! tui
Templi aras, Domine, quas habes!
Tuo felix *qui*-habitat in domicilio,
Perpetuis te colens Hymnis.
In te qui repoſuit ſpem et robur,
Tuam viam quique inſiſtit, felix *eſt*.
Necnon qui per aditu-difficiles convalles
illæſis
Pedibus incedit, opimoſque fontes
Locis aridis reperit inviis, [inexpugnabilibus]
Implet canales et rivos aqua.
Hos quoque ſtudium admodum fulciet,
IMMORTALIS ut perveniant ad templum.

Domine,

Ὦναξ, ὦ πολέμων αὐτοκράτορ, λιτὰς
Ἐμὰς ἄκουσον, κλῦθι, πάτερ, μόλε
Πρόφρων ἐμαῖς εὐχαῖς, ἀρωγὸς
Ἐλθὲ παλαισμοσύναις ἐμῇσιν.
Ἀσπὶς πέλοις μοι· δέρκεο, καὶ ῥέθος
Χριστοῦ σκόπει νῦν, παμβασιλεῦ, τεοῦ.
Ἓν ἦμαρ ἐν ναῷ τεῷ μοι
Βέλτιον, ἢ δολιχοῦ χρόνοιο
Αἰῶνες ἄλλῃ. βέλτιον αὖ ἐμοὶ
Μένειν θυρωρῷ πρός γε τεοῦ θύρας,
Ὦναξ, νεὼ, ἢ ἐν μελάθροις
Δυσσεβέων σοβαρῶς κατοικεῖν.
Ἀσπὶς σὺ δ' ἦσθ', ἠδ' ἥλιος, ἄφθιτε,
Αἰεί τε πρόφρων ἄμμι, πάτερ, πέλοις,
Χάριν χαρίσσῃ κλέος τε,
Ὀρθονόοις καλὸν οὐδὲν εἴργων.
Ὦναξ, ὦ πολέμων αὐτοκράτορ, μάκαρ,
Μάκαρ τέτυκται, ὃς σαθερὸν νόου
Ἐν σοὶ βαθυστέρνοις ἐρεμνοῦ
Φραδμοσύναις ἐνέπηξε βάθρον.

ΚΥ'ΡΙΕ παντοδύναμε, σὺ μὲν καθιέρωσάς σοι ἐκκλησίαν, ἥπερ σῆς τε ἀληθείας φυλακὴν καὶ ζωὴν αἰώνιον ἐπίστωσας. δὸς γοῦν ἡμᾶς οὐ μόνον ἐν ἐκείνῃ γενέσθαι, ἀλλὰ καὶ ταύτης εἶναι μέλη, ὥστε τούτων δωρεῶν μεταλαμβάνειν ὧνπερ αὐτῇ χαρίζῃ, καὶ ἀσθένειαν τῆς ἡμετέρας πίστεως τῷ λόγῳ τε καὶ μνημοσυνοις ἱεροῖς, ἅπερ διέταξας, κραταιοῦν. εἰ δὲ τούτων ἡμᾶς ἀποστερεῖς διὰ τὰς ἡμετέρας ἁμαρτίας (ὡσπερανεὶ σήμερον πολλαχῇ) αὔξει τοῦτ' ἐν ἡμῖν τὸν ζῆλον περὶ τῆς

τῶν

Domine, O armipotens bellorum præſes, vota
Mea audito; auſculta, pater, adveni
    Propitius meis precibus; adjutor
    Adſis luctationibus meis.
Clypeus es mihi; aſpice, et faciem
Christi reſpice nunc, Summe-Rex, tui.
    Una dies in templo tuo mihi
    Potior *eſt*, quàm diuturni temporis
Secula alibi: quinimo præſtat mihi
Priuſquam tui, O Solyma, immemores erimus, aut
Te aliud *quoddam* melius *nobis* ſonaverit.

Epodus.

Verùm tu quoque, Beate, bonorum firmiſſimum
Columen, perditorque improborum,
Idumæam revocato in-memoriam,
Injurioſam ſtirpem;
Quæque pereuntem patriam terram
Sannis-excepit,
Dictitans, Corruat urbs
Ab imis fundamentis,
Æquata ſolo.
Neque tu, O Babylon,
Excoques [conciliabis] *tibi* magnam felicitatem. Ille enim
Felix, quiſquis talionem

Τὴν ἐπιθεὶς, βρέφος ἐξ ἀγκαλᾶν
Ματρὸς ἁρπάζων, λίθων κρύψει χαλάζαις.

## ΧΡΙΣΤΟΛΟΓΙ´Α ΜΕΤΡΙΚΗ´*.

Genus Heroicum. Vid. Idyll. p. 130.

ΧΡΙΣΤΕ` φάος μερόπων, Σωσίμβροτε, Δῶτορ ἐάων,
Δῶτορ παντοίης σοφίης· κύδιστε, μέγιστε,
Κλῦθι Ἄναξ, Ἀρχὴ πάντων, Μέσον, ἠδὲ Τελευτή.
Ἐκ σέο δ' ἀρξάμενος, καταλήξομαι ἀσφαλὲς ἐν σοί.
Ὧι μὲν παντοκράτωρ γενέτης ΘΕΟ`Σ ἐγγυάλιξε
Σκῆπτρον ἐν ἀκροτάτῃ κορυφῇ φαέθοντος Ὀλύμπου,
Ἐν πάσῃ χθονὶ καὶ κράτος ἔξοχον, ἠδὲ θέμιστας,
Ἀθανάτων ἵνα καὶ θνητῶν μόνος ἡγεμονεύῃς.
Ἐλθὲ, μάκαρ, καὶ ἐμοὶ Σέο μνήμην πέμπε φερίστην·
Λισσόμενος καλέω, δὸς μοὶ καταθύμιον αὐδήν.
Ὄττ' ἀλαπαδνὸς ἐγὼ πέλομαι, καί νῆϊς ἀοιδός.
Τίς γὰρ σὴν Γενεὴν προτέρην ἄῤῥητον ἀείσει;
Οὐ γένετ', οὐκ ἔσται· Ἑτέρην ἤ τίς ἀκριβὲς ἔγνω;
Νῦν σὺ μὲν ὀβριμόπατρος ὑφίστασαι, υἱὸς Ἀμήτωρ·
Νῦν δ' Ἀπάτωρ, καθαρῆς γενετείρης Παρθένου αἰεὶ
Εὐειδὴς τόκος ἐσσὶ, λαβὼν βροτοειδέα μορφήν.

* Sive hymnus ad CHRISTUM, vitam ejus ſummatim enarrans, Latinè redditus, et in lucem emiſſus, operâ et curâ JOANNIS HARMARI, Ling. Gr. apud Oxonienſes Præl. Pub. *In uſum celeberrimæ Scholæ* Weſtmonaſterienſis, &c.

Ἐν τῷ εὖ τὸ μέγα.

Londini 1660.

Dedicatur JOANNI WILKINS SS. Theol. Doctori.

Πλὴν

Tibi inflicturus, infantem ab ulnis
Matris correptum, lapidum obruerit grandinoſo *quaſi* imbre.

## Hiſtoria de Chriſto Metrica.

CHRISTE lux hominum, Salvator-mortalium, dator bonorum,
Dator omnigenæ ſapientiæ; Glorioſiſſime, maxime,
Audi, Domine, Principium *rerum* omnium, Medium, et Finis.
A Te *canticum meum* auſpicatus, deſinam ſecurè in Te.
Cui quidem Omnipotens genitor DEUS in-manus-tradidit
Sceptrum in altiſſimo vertice fulgentis Olympi;
Et in omni terrâ imperium ſummum, atque jura,
Ut immortalibus, et mortalibus, ſolus *Dux* imperes.
Veni, Beate, et mihi Tui memoriam immitte præſtantiſſimam:
Supplicans *te* voco, da mihi animo-Tuo-gratum ſermonem:
Quoniam imbecillis ego ſum, et ignarus cantor:
Quis enim tuam generationem priorem ineffabilem cantabit?
Non FUIT, non ERIT: alteram autem quis exactè novit?
Nunc Tu quidem forti-patre-natus ſubſiſtis, Filius ſine-Matre;
Nunc verò ſine-Patre, puræ genetricis Virginis ſemper
Speciofus es partus, aſſumens mortalis-*hominis*-formam.

Præter

Πλὴν τοῦ πλημμελέειν ἡμῖν πανόμοιος ἐτύχθης.
Τίς κεν δυσσεβέων ἀπεδέξατο θαύματ' ἐκεῖνα;
Τίς δὲ καὶ οἰομένων τινὰ τὸν Θεὸν ὄντα μέγιστον,
Εἰ μὴ πλαζομένῳ Θεολαμπέα πίστιν ὀπάζοις;
Ἀλλὰ τίς ἀνδρόμεον Σέθεν εἶδος ἔχοντος ἅπαντα
Ἔργα θεόσσυτα κηρύξειεν ἀπειθέϊ κόσμῳ,
Εἰ μὴ θεσπεσίην δώῃς ἐριούνιος αὐδήν;
Νηδύος ἐξ ἱερῆς ἔθορες βρέφος ἀρτεμὲς, ἠδὲ
Παρθενικῆς Σέο μητρὸς ἐθήσαο πίονα μαζόν.
Ποιμένες ἄγραυλοι διὰ αἰθέρος εἰσαΐοντες
Ἀγγελικὰς ὀμφὰς, καὶ ἐναίσιμα σήματα πολλὰ,
Ἐσσυμένως ἀνόρουσαν, ἴδοντό τ' ἀληθέα πάντα.
Ἦλθον ἀπ' Ἀντολίης Μάγοι ἄνδρες δῶρα φέροντες·
Οἱ δὲ Μάγοι σοφοὶ ὄντες (ἴσως βασιλῆες ἀγαυοὶ)
Ἀστέρι ἑσπόμενοι θεοφεγγεῖ, τηλόθεν ἦλθον·
Ἀγλαὰ Σοί γε Θεῷ θ' Ἱερεῖ τ' Ἐσσῆνί τε σεμνῷ
Δῶρα φέρον, Λίβανον Σμύρναν, Χρυσόν τ' ἐρίτιμον.
Οὐρανὸς ἀστερόεις, Ἀὴρ, Χθὼν, ἠδὲ Θάλασσα
Υἱὸν ἀπαγγέλλουσι Θεοῦ Σωτῆρα δοθέντα,
Σαρκωθέντα ΛΟ'ΓΟΝ· Πατρός δ' ἐτελείετο βουλή.
Καὶ νεανίσκος ἐὼν ἐφράσσαο πάντα τέλεια,
Αὐτομαθὴς καὶ παντοδαὴς, μετὰ δὴ Φαρισαίων
Λυσσαλέων Ἱερῷ διελέχθης πατρὸς ἐν οἴκῳ.
Ἀλλὰ μὲν ηὐξήθης, ἐτράφης καλὰ, Παντρόφε Χριστὲ,
Κάλλεϊ καὶ χάριτι στίλβων, θεότητι κράτιστος,
Ἄμβροτος, ἠδὲ βροτός· Διφυὴς, ΘΕΟ'Σ, ἠδὲ καὶ 'ΑΝΗ'Ρ.

Θάμβος

Præter peccatum, *τὸ peccare*, nobis omnino ſimilis extitiſti.
Quis impiorum *approbando* reciperet miracula illa?
Quis, vel credentium aliquem Deum eſſe maximum,
Niſi erranti divinitùs-allucentem fidem dederis?
Verùm quis humanam Tui formam habentis omnia
Opera divina prædicârit incredulo mundo,
Niſi Divinam dederis *tu* beneficus *auxiliator* vocem?
Utero ex ſacro exſiluiſti Infans integer, atque
Virginis Tuæ matris ſuxiſti uberem mammam.
Paſtores in-agris-pernoctantes [ſtabulantes] per ætherem audientes
Angelicas voces, et fauſta ſigna multa,
Certatim ſurrexerunt, viderúntque vera omnia.
Venerunt ab Oriente Magi viri dona ferentes;
Magi quidem ſapientes exiſtentes (fortè Reges illuſtres *erant*)
Stellam ſecuti à-Deo-lucidam, è longinquo venêrunt;
Splendida Tibi quidem Deóque, Sacerdotique, Regique Auguſto
Munera attulerunt, Thus, Myrrham, Aurúmque pretioſum.
Cœlum ſtelliferum, Aer, Tellus, et Mare
Filium annunciant Dei, Salvatorem datum,
Incarnatum VERBUM; Patris autem perficiebatur conſilium.
Et *Tu* puer exiſtens, in animo verſâſti omnia perfecta,
Ex-Teipſo-diſcens, et omniſcius, adversùs quidem Phariſæos
Rabidos ſacrâ diſſeruiſti in Patris domo.
Sed enim creviſti, [auctus-es,] enutritus-es pulchrè, Omnium-nutritor Chriſte,
Venuſtate et gratiâ fulgens, Deitate *Tuâ* potentiſſimus,
Immortalis, atque Mortalis, Geminæ-Naturæ, DEUS, et VIR.

Pavor-

Θάμβος ἔχει με νοεῦντα τὰ θαύματα ὁππόσ' ἔρεξας.
Τί πρῶτον γὰρ ἐρῶ; τί δ' ὑςάτιον καταλέξω;
Παυσίπονον Νηπενθὲς * ἔφυς, εὐαλθὲς ὄνειαρ·
Χάρμα βροτοῖσιν, ὕδωρ οἶνον μελιηδέα ποιεῖς.
Σεῖο κελεύσαντος τρόμος ἔλλαβε Δαίμονας ἐχθρὺς,
Θεσπεσίη τ' ἔχε φύζα, φόβου κρυόεντος ἑταίρη.
Ἐμπορικὺς ἱερῶν τὺς λυμαντῆρας ἱμάσθλῃ
Καρτερὸς ἐξέλασας Τεμένυς μάλα σιταλόεντος·
Ἄρτων πέντε, δυοῖν τ' ἐξ ἰχθυδίοιν, ἐν ἐρήμῳ,
Ἀνδρῶν χιλιάδας πέντε θρέψας μετὰ τέκνων
Ἠδ' ἀλόχων· Κοφίνυς δυοκαίδεκα Λείψανα πλῆσε.
Σὸν δέμας ἄρτος ἐτήτυμός ἐςι, καὶ εἶδαρ ἀληθές·
Αἷμα τεὸν νημερτὲς, Νέκταρος Ἀμβροσίης τε
Θειότερον, γλύκιόν τε θευδέσιν εἰλαπινάζειν.
Πεζὸς ἐὼν ἐθέεσκες ἐπ' εὐρέα νῶτα θαλάσσης·
Σοὶ Πέλαγος ζαμενὲς, καὶ λαίλαπες, ἠδὲ θύελλαι
Πείθονται, καὶ πάντα βροτοῖς φρικώδεα δειλοῖς.
Σεῖο λόγῳ λυγραὶ καὶ ἀναλθέες αὐτίκα νῦσοι,
Λέπραι, καὶ Πυρετοὶ, Παραλύσιες, Αἱματόεσσαι
Ῥεύσιες, ἀργαλέαι Πηρώσιες ἐξακέονται·
Οἱ δ' Ἀλαοὶ λεύσσον λαμπρὸν φάος ἠελίοιο·
Ἔδραμον ἀρτίποδες χωλοὶ κατὰ Σεῖο κέλευσμα,
Κωφοί τ' εἰσάϊον, καὶ ἀναύδων γλῶσσα λέλυτο.
Αἱ δ' κόμαι ζάθεαι θυέεν λείβεσκον ἔλαιον,
Ῥάσματα θεῖα μύρυ Χριςῦ ςάζυσιν ἔθειραι,
Οὐ λίπος· ἀλλ' αὐτὴν Πανάκειαν· ἐπεὶ Πανακίςως,

* Herba, quæ vino infuſa mœrorem cordi demit.

Ἤπιος

Pavor-cum-ſtupore occupat me cogitantem Tua miracula, quæ feciſti.

Quid primum enim dicam? quid verò poſtremum recenſebo?

Labores-[moleſtias]-ſedans Nepenthes extitiſti beneſanans auxilium:

Gaudium mortalibus, Aquam vinum dulce facis.

Te jubente, tremor corripuit Dæmonas infeſtos,

Ei divinitùs-immiſſa occupavit fuga, pavoris horrifici ſocia.

Nundinarios ſacrorum corruptores ſcuticâ

Fortis exegiſti è templo valdè *cum ſilentio* venerando [ſtupendo];

Panibus quinque, et duobus piſciculis, in ſolitudine,

Virorum millia quinque paviſti cum liberis

Et uxoribus; cophinos duodecim reliquiæ impleverunt.

Tuum Corpus panis verus eſt, et cibus verus

Sanguis *Tuus* potus verus, Nectare, Ambroſiâque

Divinior, dulciórque piis *ad* epulandum.

Pedes exiſtens currebas ſuper lata dorſa maris;

Tibi iracundum Pelagus, et Turbines, et Procellæ

Obediunt, et omnia mortalibus formidabilia miſeris [meticuloſis].

Tuo verbo graves, et immedicabiles illicò morbi,

Lepræ, Febres, Paralyſes, cruenti [ſanguinei]

Fluores, moleſtæ Mutilationes perfectè-ſanantur;

Cæci quoque viderunt ſplendidam lucem Solis:

Concurrerunt claudi, *facti* pedibus-integri ſecundùm tuum mandatum;

Surdíque audiverunt, et mutorum lingua ſoluta-eſt.

Comæ autem divinæ [Chriſti] odoratum ſtillant oleum,

Guttas [aſpergines] divinas unguenti Chriſti ſtillant Capilli,

Non pinguedinem *vulgarem*, ſed ipſam Panaceam; quoniam *is eſt* omnium-*morborum*-Curator,

Mitis

Ἤπιος Ἰητὴρ, καὶ Σωτήρ ἐστιν Ἰησοῦς,
Ἐλπωρὴ μεγάλη νοσερῶν, καὶ φάρμακον ἀλγῶν.
Χριστοῦ γὰρ σθένος ἐστὶν ἀθέσφατον· ἐκ δέ νυ Χριστοῦ
Ἔρχεται ἀνθρώποισιν ἀνάβλησις θανάτοιο.
Χριστὸς ἐγερσίνοος κατατεθνειῶτας ἐγείρει,
Εὔφρων ζωοδότης, ψυχοσσόος, ὀλβιοεργός.
Κάτθανεν αὐτὸς ἅπαξ ἀδίκῳ καὶ ἀεικεῖ πότμῳ,
Ζηλομανῶν φθονερῆς διὰ βουλῆς Ἀρχιερήων,
Ἠδ' ἐτάφη, καὶ παγκρατέως τρίτον ἦμαρ ἀνέστη,
Ἄλκιμος, Ἀμβρόσιός τε Θριαμβοδότης Ἀΐδαο,
Ἄφθιτος, Ἀγλαόμορφος, Ἀλεξίκακος, πανἀπήμων,
Ἀμφαδίην ἱμερτὸς ὁμίλεεν οἷσι μαθηταῖς,
Τεσσαρακοσταῖος πανἀληθέα τοῖσδ' ἀνατείλας,
Πολλὰ καὶ ἐκτελέσας περιθαμβέα θέσκελά τ' ἔργα,
Οὐρανὸν εἰσανέβη Θεὸς, αὐτὸς ἀκήρατος Ἀνὴρ,
Υἱὸς ἐπουράνιος, Πατρὶ σύνθρονος, ἠδ' ὁμότιμος,
Πανδαμάτωρ, φαεσίμβροτος· οἷς Ἑτάροισιν ἔπειτα
Πλειοτέρην ἔσαξε χάριν· διὰ Πνεύματος Αὐτοῦ,
Δῶκε μένος καὶ θάρσος, ἀριδήλους παρὰ πᾶσιν
Ἔμμεναι ἀνθρώποις, ἅμα καὶ λόγον ἐσθλὸν ἀκούειν.
Ἐνθάδε Παμβασιλεὺς κρατέει μέγα κοιρανεόντων,
Φέρτατος ὧν πάντων Γενεῇ τε, Φυῇ τε, Βίῃ τε.
Ὧι Λαοί τ' ἐπιτετράφαται, καὶ πάντα μέμηλε.

Πάντ

Mitis Medicus, et Servator eſt Jeſus,
Spes magna ægrotorum, et remedium dolorum.
Chriſti enim robur eſt immenſum ; e Chriſto autem
Venit hominibus dilatio mortis.
Chriſtus excitator-mentis mortuos exſuſcitat,
Benevolus vitæ-dator, animarum-ſervator, felicitatis-auctor [effector].
Ipſe ſemel mortuus-eſt injuſtâ et indecorâ morte,
Malo-zelo-furentium invidum per conſilium principum-Sacerdotum :
Atque ſepultus-eſt, et omnipotenter tertio die reſurrexit,
Prævalidus, immortalíſque Triumphator Orci,
Incorruptus, Illuſtris-formæ, Averruncator-malorum, omnino-innoxius, [illæſus,]
Apertè deſiderabilis collocutus-eſt cum ſuis diſcipulis,
Quadrageſimo-die omnia-vera hiſce ubi-demandâſſet,
Multáque ubi-perfeciſſet ſtupenda divináque opera,
In cœlum aſcendit Deus, ipſe fati-exſors, vir,
Filius ſuper-cœleſtis, Patri-adſidens, atque æquè-honoratus,
Omnia-ſubigens, lucem-mortalibus-expromens ; ſuis ſociis poſtea
Pleniorem inſtillavit gratiam ; per ſpiritum ſuum
Dedit *iis* animi robur et fiduciam, ut præclari ſupra omnes
Homines eſſent, atque *ut* ſermonem bonum audirent, *bene-audirent.*
Hîc Omnium-Rex imperat ſuperbè dominantibus,
Præſtantiſſimus exiſtens omnium, et generatione, et indole, et robore.
Cui populi commiſſi-ſunt, et omnia ſunt curæ.

Ubique

Πάντη γὰρ πάρα· Γῆν πίμπλησι, καὶ Αἰθέρα μακρὸν.
Πάντες Ἀριστῆές, θ' Ἡγήτορες, ἠδὲ Μέδοντες,
Τούτου δειδίασι κρατερὴν καὶ ἀπείριτον ἀλκήν.
Δαίμονες ἐκπάγλως Αὐτὸν ταρβοῦσιν ἔνερθεν
Οὐνόματος κρυόεντος ὅταν κτύπος οὔατα βάλλῃ.
Ὧι Μοῖραι πείθονται ἀμείλικτοί περ ἐοῦσαι·
Τὸν δὲ σεβίζουσιν μάκαρες ναετῆρες Ὀλύμπου,
Κύριον οὐράνιον, πανυπέρτατον, ἀγλαότιμον.
Τοῦ δ' ἄρ' ἀνάσσοντος μαντεύεται οὐκ ἔτι Φοῖβος,
Ὃν Τρίποδα Χριστὸς σύλησε, Λύρην τε, Βιόν τε,
Ὡς κυνέην Ἀϊδωνέα, Ζῆν ἀργῆτα Κεραυνὸν,
Ὅπλα Ἄρην, Κορυνὴν Ἡρακλέα, Ἔγχος Ἀθήνην,
Γαιόχον εἰνάλιον τριβελὲς Δόρυ, θύρσα τε Βάκχον,
Πτηνὰ πέδιλ' Ἑρμῆν, χρυσέην καὶ ἀφείλετο ῥάβδον,
Παντοδαποὺς τε θεοὺς μυθώδεας ἐξεκένωσε.
Τῶν δ' Εἴδωλα θλάσε βροτέων δαιδάλματα χειρῶν.
Αὐτὸς ἐὼν Θυσίη τελέη, ἄχραντος, ἀμύμων,
Ψευδοθέων θεομισέας ἠμαύρωσε θυηλάς.
Τοὔνομα δὲ Χριστοῦ λαοὺς ἀφίκανεν ἅπαντας·
Ἣ μὲν ὅσοι ναίουσι πρὸς ἠῶ ἠριγένειαν,
Ἠδ' ὅσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα,
Καὶ πόλον οὐχ ἡμῖν ἐπίοπτον ὁρῶντες, ἄκουσαν·
Πάσης γὰρ κρατέει γαίης, πάσης τε θαλάσσης.

Δυστε-

Ubique enim adeſt; Terram implet, et Ætherem longè-porrectum.
Omnes Proceres, et Duces, et Reges,
Hujus reformidârunt validam et infinitam potentiam.
Dæmones vehementer [conſternatè] ipſum exhorreſcunt [apud inferos] infrà,
Nominis horrifici quando ſonus aures *eorum* percuſſerit.
Cui Parcæ obediunt, implacabiles licet exiſtentes :
Hunc verò venerantur beati habitatores Olympi [cœli incolæ]
Dominum cœleſtem, omnium-ſupremum, honore-ſplendidum.
Hoc autem regnante, vaticinatur non ampliùs Phœbus,
Quem Tripode Chriſtus ſpoliavit, Lyrâque, Arcúque,
Sicut Galeâ Plutonem, Jovem candente fulmine,
Armis Martem, Clavâ Herculem, Haſtâ Minervam,
Terram-incingentem marinum *DEUM* tricuſpide jaculo, Thyrsíſque [haſtis aculeatis] Bacchum,
Alatis Talaribus Mercurium, auream etiam abſtulit virgam [caduceum];
Omnigenóſque deos fabuloſos exinanivit.
Horum etiam ſimulachra fregit, mortalium artificia manuum.
Ipſe exiſtens ſacrificium perfectum, impollutum, inculpatum,
Falſorum-deorum deo-inviſa obſcuravit ſacrificia.
Nomen autem Chriſti populos pervenit ad omnes;
Et quotquot habitant ad auroram in-aëre-genitam [in Oriente]
Et quidem quotquot ponè *habitant* ad Occaſum caliginoſum,
Et polum [Auſtralem] non nobis aſpectabilem videntes, audiverunt.
Omni ſiquidem dominatur terræ, omníque mari.

Δυσσεβίας δ' Ἀθέους πάντας ῥαίσειεν ὁ Χριστός·
Πάντας ὑπερφιάλους ῥάβδῳ δαμάσειε σιδηρῇ,
Ἠΰτε σκεῦος ἑλὼν κεραμῆος, χειρὶ κραταιῇ
Συντρίψειεν· ἑοῦ γὰρ τὸ κράτος ἐστὶ μέγιστον.
Ὃς μάχεται Χριστῷ, μαλερῷ πυρὶ δειλὸς ὀλεῖται·
Ὄλβιος ὃς καθαραῖς πραπίδεσσι κτήσατο Χριστόν.
Ἔστι φιλάνθρωπος Χριστὸς Θεός, ἐλπιδοδώτης,
Εὐμενὲς ἦτορ ἔχων ἱκέτῃσι, καὶ εὐθέσι γνώμην·
Καὶ ταμίης ἐλέου, Πατρὸς σφρηγῖδα φυλάττων,
Παντοίων ἀγαθῶν ἀνθρώποις δῶρα πορίζει.
Ἀρχιερεὺς, Μεσίτης τε, Καθαρτής τ' ἀμπλακιάων·
Ἄμπελος ἱμερόεσσα, Θύρη Μηλοσσόος, ἐσθλὸς
Ποιμὴν, Ἀτρεκίη, Ζωὴ, Φάος, Ἄλκαρ, Ἀταρπός.
Τοὔνεκα Σωτῆρος Χριστοῦ καλέουσιν ἅπαντες.
Χριστὲ ἄναξ, ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις,
Κλῦθί μου εὐχομένου πάντων ὕπερ εὔφρονι θυμῷ.
Ἁρμονίης ἐπίδος Θεοπειθέσιν ἀνδράσι μοῖραν·
Ἐξόρισον πολέμους ἀσεβεῖς, καὶ λύματα πάντα
Δυσσεβίης, ἡμῖν λοιμὸν καὶ λιμὸν ἄμυνε·
Ἐξέλασον νούσους, ὑγείην σῶσον ἀμεμφῆ.
Εἰρήνην τε δίδου Θεοτερπέα σοῖς θεράπουσι·
Εὐνομίην τε, δίκην τε, τεῷ σωτήρια λαῷ.
Κλῦθί μου ἀγλαόφημε, πανίλαε, Κοίρανε Χριστέ.
Λίσσομαι ἀζόμενος μέγα σὸν σέβας· ἵλαθι πρόφρων.
Θυμὸν ἐμεῖο, δέμας τε κάθηρον ἀμαρτάδος αἰσχρῆς.
Οὐκ ἔραμαι πλουτεῖν ἄγαν, οὐ πλεόνεσσιν ἀνάσσειν
Εὔχομαι· ἀλλὰ νοεῖν, τίειν τε σέγ' ἔξοχα πάντων,

Ὀρθὴν

Impios verò Atheos omnes *citò* diſperdat ipſe Chriſtus ;
Omnes ſuperbos virgâ perdomet ferreâ,
Tanquam vas figuli arreptum, manu præpotenti
*Citò* conterat ; ejus enim imperium eſt maximum.
Qui oppugnat Chriſtum, ſævo igne miſer peribit :
Beatus is eſt qui puro pectore poſſedit Chriſtum.
Eſt hominum-amator Chriſtus Deus, ſpei-dator,
Benignum cor habens ſupplicibus et rectis mente ;
Et promus-condus miſericordiæ, Patris ſigillum cuſtodiens,
Omnigenorum bonorum hominibus dona ſufficit.
Summus-Sacerdos, Mediatórque, Purgatórque peccatorum ;
Vitis deſiderabilis, oſtium ſervans-oves, bonus
Paſtor, Veritas, Vita, Lux, Præſidium, Via.
Idcirco Salvatore Chriſto indigent omnes.
Chriſte Domine, qui omnia aſpicis, et omnia exaudis,
Audi me precantem pro omnibus benignâ mente :
Concordiæ largire *inſuper* Deo-obtemperantibus hominibus ſortem ;
Extermina bella impia, et ſordes omnes
Impietatis, *à* nobis peſtem et famem depelle.
Expelle morbos, ſanitatem ſerva inculpatam [placidam].
Pacémque concedito Deo-placentem tuis famulis,
Rectam-juris-conſtitutionem, et juſtitiam, *quæ* ſalutaria *ſunt* tuo populo.
Audi me ſplendidè-celebrate, omnibus-propitie, Princeps Chriſte.
Supplico venerans magnum tuum Numen ; propitius-eſto lubens.
Animam meam, corpúſque purga *à* peccato turpi.
Non cupio diteſcere nimiùm, non pluribus imperitare
Opto ; ſed meditari, et colere Te ſupra omnia ;

Ὀρθὴν πίστιν ἔχειν, Σέο καὶ μεμνῆσθαι ἐφετμέων,
Πίδακος ἐξ ἱερῆς σοφίης γλυκὺ Νέκταρ ἀφύσσειν.
Ἀχλὺν ἀποσκεδάσας θανατηφόρον, ἠδ' ἐρεβεννὴν,
Ἁγνοῦ Σοῦ φάεος, μεγαλώνυμε, Φωσφόρε Χριστὲ,
Ψυχῇ ἐμῇ δνοφερῇ δεῖξον ζωαρκέας αὐγάς.
Σοῦ γὰρ ἄτερ σέλαος πάντα σκοτόεντα βροτοῖσι.
Σοῦ δόντος, πᾶν ἐσθλὸν ἐπίσταται ἄνδρας ἀέξειν,
Πάντων γὰρ κρατέεις μοῦνος, πάντεσσιν ἀνάσσεις,
Καὶ διὰ Σοῦ θνητοῖς σωτήρια δῶρα τέτυκται·
Νόσφι τεῆς ἀρετῆς πτωχοὶ κακοείμονες ἐσμέν.
Μουνογενὴς Θεοῦ υἱὲ, Σεβάσιμε, Λυσιμέριμνε,
Πνεῦσον ἐμοὶ Σὸν πνεῦμα, Τεῆς ἐπιδεύομαι ἀλκῆς.
Πρηῢς ἐμοίγ' ἐπιτάῤῥοθος, εὐμενέων ἐπαρωγὸς,
Πρόχεε ζωογόνους ὁσίης Χάριτος ῥαθάμιγγας.
Δός σε νοεῖν τε, φιλεῖν τε ὁμοῦ, καὶ ὄλβιός εἰμι.

## Διάλογος τοῦ ΧΡΙΣΤΟΥ καὶ ὁδοιποροῦντός τινός.

Genus Elegiacum. Vid. pag. 2.

ΑἸ', αἶ, Τίς Σὲ, φερέσβιε, δύσμορος ἔκτανεν; αἶ, αἶ!
  Σωσίβροτον Σὲ μανεὶς τίς θανάτωσε βροτῶν;
Οὐ Καΐφας τόσον, οὐ δολερὸν προδόταο φίλαμα,
  Οὐδ' ἄδικαι μιαροῦ τοῦ Πιλάτοιο χέρες·
Μήδεα Πατρὸς ὅσον, τεμόν τέ τοι ἤπιον ἦθος,
  Ἀμπλακίας ἐλέῳ τάς σου ἀμειψάμενον.

Πῶς

Rectam fidem tenere, Tuíque meminiſſe mandatorum,
Et fonte ex ſacro ſapientiæ dulce Nectar haurire.
Caligine diſſipatâ mortiferâ, et fuſcâ,
Puri tui luminis, glorioſiſſime, [magni-nominis] lucem-ferens Chriſte,
Animæ meæ tenebricoſæ oſtende ad vitam-ſuſtentandam-ſufficientes radios.
Tuî ſiquidem ſine fulgore omnia *ſunt* tenebricoſa mortalibus.
Te dante, quodvis bonum poteſt viros augere,
Omnibus enim dominaris ſolus, omnibus imperas;
Et per Te mortalibus ſalutaria dona parata-ſunt:
Sine tuâ virtute pauperes malè-veſtiti ſumus.
Unigenite Dei fili, Colende, Solutor-curarum,
Inſpira mihi Tuum Spiritum, (Tuo enim indigeo auxilio, [robore])
Manſuetus mihi quidem auxiliator, benevolúſque adjutor,
Affunde vivificas ſanctæ gratiæ guttas.
Da mihi Te amare, adoraréque ſimul, et felix ſum.

Dialogus Christi et Viatoris cujuſdam.

HEU, heu! Quis te, *qui* vitam-affers, infelix trucidavit? heu, heu!
Servatorem-mortalium quis mortalium inſaniâ-ductus Te occidit?
Non Caiphas adeò, non doloſum proditoris oſculum,
Non injuſtæ ſceleſti Pilati manus;
Quantùm conſilia patris, meáque Tibi benigna mens,
*Ut qui* peccata tua miſericordiâ meâ depulerim.

Πῶς δὲ Κριτὴς ἐκρίθης; πῶς πανδαμάτωρ ἐδαμάσθης;
Πῶς ἀπαθὴς ἔπαθες; πῶς θάνες ἀθάνατος;
Καὶ κτιςὴς, καὶ κτιςὸς ἐών, ἀπαθής τε παθητός,
Καὶ Θεὸς ὢν θνητὸς, καὶ βροτὸς ἀθάνατος·
Οὕτως δὴ θάνατον θανάτῳ θανάτωσα· Θέαμα
Τερπνὸν ἐπερανίοις, τερπνὸν ἐπιχθονίοις.
Φεῦ σοφίης βάθος! ὦ θείας μέγα θαῦμα Προνοίας!
Φρικτὸν Ἐπερανίοις, φρικτὸν Ἐπιχθονίοις.
Ἔρρ' Ἀΐδε κνέφας· ἔῤῥε Σατᾶν ὀλεσίμβροτε· αὐτὸς,
Αὐτὸς (Ἰε) ζωῆς πρόξενος εἶ, Θάνατος.

## ΨΑΛΜΟ`Σ ρκ΄. ὑπὸ ΦΡΕΔΕΡΙ'ΚΟΥ 'ΙΑΜΩΤΙ'ΟΥ μεταφρασθείς.

Genus Trochaicum Dimetrum. Vid. Pſal. XLVII. p. 158.

"ΟΤΕ δυσμενῶν φάλαγγες
Ἐπικερτομεῦσι γλώσσαις,
Δακέθυμά μοι λέγεσι,
Τότ' ἐγὼ ΘΕΟ`Ν βοῶμαι,
Ὃς ἐμεῦ πρόφρων ἀκέει,
Ὃς ἐμοὶ πρόφρων βοηθεῖ.
Βιοτὴν ἐμὴν ἄπειργε,
Βιοτὴν, ἄναξ, ἄφελκε,
Στομάτων βαρυπνεόντων,
Φιλοκερτόμων τε λαιμῶν.
Τί κακηγόρος σ' ὀνήσει
Φιλολοίδορός τε γλῶσσα,

Καρτε-

Quomodo verò, Judex *cum ipſe ſis*, judicatus-es? Quomodo, omnia-ſubigens, ſubactus-es?
Quomodo, paſſioni-non-obnoxius, paſſus es? Quomodo immortalis, cùm ſis, mortuus es?
Et Creator, et creatus exiſtens, paſſioni-non-obnoxius, et obnoxius,
Et Deus exiſtens mortalis, et mortalis exiſtens immortalis *ſum*:
Sic utique mortem morti morte-dedi; Spectaculum
Jucundum Cœlicolis, jucundum Terricolis.
O Sapientiæ *divinæ* profunditatem! O divinæ magnum miraculum providentiæ!
Verendum [ſacro-ſanctum] Cœlicolis, verendum Terricolis.
Abi in perniciem *tuam* Orci Caligo; Abi in exitium *tuum*, Satan perditor-mortalium; ipſa,
Ipſa (iô) vitæ conciliatrix es, O Mors.

******************************

PSALMUS cxx. a Frederico Iamotio interpretatus.

CU'M hoſtium catervæ
Petulantibus linguis,
Animum-mordacia *proba* mihi ingerunt;
Tunc Ego DEUM invoco,
Qui me lubens exaudit,
Qui mihi lubens ſuccurrit.
Vitam meam arceto,
Vitam, Domine, ſubducito
Ori minas-ſpiranti, [gravia]
Et maledictis-inceſſere-gaudenti gutturi.
Quid maledica te juvabit
Et probri-ſtudioſa lingua,

Καρτερωτέρη μὲν ἰοῦ,
Μαλερωτέρη δὲ πυρσοῦ;
Ἄγαν, ὦ τάλας, συνοικῶ
Πολεμοτρόφοισιν ἐχθροῖς.
Στυγέω μάχην φιλοῦντας,
Φιλέω μάχην στυγοῦντας·
Μιαρώτατοι δ' ἄνδρες,
Φιλίην ὅταν λαλήσω,
Πολέμων, φόνων πνέουσι,
Προκαλέμενοί μ' ὀλέθρῳ.

## ΨΑΛΜΟ`Σ ρ'. ὑπὸ ἹΕΡΩΝΥ'ΜΟΥ τοῦ ΦΡΕΙΗ'ΡΟΥ μεταφρασθείς·

Genus anapæſticum.

| | | | |
|---|---|---|---|
| ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ |
| – | – | | – |

ἈΛΑΛΑ'ΖΕΤΕ πᾶσα μεγίστῳ
Γῆ Κυρίῳ· αὐχένα θέσθε
Χαίροντες ὑπὸ ζυγὸν ἡδύν.
Καὶ ἑκόντι εἰσέλθετε πάντες
Εὔσκαρθμοι ἐνώπιον αὐτοῦ.
Ἐπίγνωτε δὲ, Κύριον εἶναι
Τὸν παμβασιλῆα Θεόν τε.
Αὐτὸς γὰρ ἅπαντας ἑαῖσι
Ταῖς χείρεσι ἔκτισεν ἡμᾶς,
Ἡμᾶς ἀφυεῖς διὰ παντὸς,
Πρὸς τοῦτο καὶ ὄντας ἀκαμπεῖς·
Ἐκτήσατο λαὸν ἑαυτῷ

Ἡμᾶς

Acutior ſanè telo, [efficacior]
Voracior quoque igne?
Diutiùs, eheu, miſer! habito
Cum belllum-nutrientibus [valde-rixoſis] hoſtibus.
Odi pugnarum amantes,
Amo pugnas odio-habentes.
Verùm, perverſi-admodum homines,
Ut-*primùm* amicitiæ mentionem-faciam
Bella *et* cædes ſpirant,
Provocantes me ad perniciem.

PSALMUS C. ab Hieronymo Freyero * interpretatus.

PLAUDITE omnis maximo
Terra DOMINO: cervicem ponite
Gaudentes ſub jugum dulce:
Et ſponte ingredimini omnes
Agiles in conſpectum ejus.
Agnoſcite verò, DOMINUM eſſe
Omnipotentem et DEUM.
Ipſe enim omnes ſuis
Manibus condidit nos,
Nos ineptos in perpetuum,
Ad hoc et exiſtentes rigidos:
Acquiſivit populum ſibi ipſi

* *Hieronymus Freyerus*, Pædagogii Regii Glauch. Inſpector; vir Græcis et Latinis literis doctiſſimus. Faſciculos duos Poëmatum Græcorum et Latinorum ex optimis antiqui et recentioris ævi poëtis collectos, et ſcholis adprimè utiles, edidit. Ex horum ımâ hicce Pſalmus cum paucis aliis deſumptus eſt.

Nos

Ἡμᾶς ἀγέλην τε νομάων.
Αὐλὰς εἰσέλθετε κεδνὰς,
Ζαθέων ἔντοσθε πυλάων
Μολπάζετε κῦδος ἐκείνου
Καὶ τοὔνομα λαμπρὸν ὑδεῖτε·
Ὅτι χρηστὸς ὁ Κύριος ἡμῶν,
Ἐλεῶν ἐς αἰῶνα, καὶ ἄχρι
Γενεᾶς γενεᾶς τε καὶ αἰὲν
Αὐτὸς, μενετὸς καὶ ἀληθής.

Εὐλογία πρὸ δείπνου ἐκ Ψαλμοῦ ρμέ. ὑπὸ ἹΕΡΩΝΥ'ΜΟΥ τοῦ ΦΡΕΙΗ'ΡΟΥ μεταφρασθέντος.

Genus Glyconicum.

– – | – ⏑ ⏑ | – ⏑ ⏑
–

ΠΑ'ΝΤΩΝ ὄμματα, Κύριε,
Ἐλπωρὴν ὑποκάρδιον
Καὶ αἰεὶ ἔχει ἀσφαλῆ,
Εἰς κοινὴν ἐσορώμενα
Τὴν εὐεργεσίαν σέο.
Πρόφρων γὰρ καὶ ἑκὼν δίδως
Ἐν καιρῷ γλυκυμείλιχον
Εἶδαρ πᾶσι κατὰ χρέος·
Εὐρεῖαν τε πετῶν χέρα
Πᾶν δεκτῶν ταχὺ πανταχοῦ
Πλήθεις ζώων ἐδεσμάτων.

Εὐχα-

Nos gregemque paſcuorum.
Atria introite veneranda,
Divinas intra portas
Celebrate gloriam ejus,
Et nomen ſplendidum cantate :
Quia benignus DOMINUS noſter,
Miſericors in ſeculum, et uſque-ad
Generationem generationemque et ſemper
Idem, immutabilis et verus.

Precatio ante cibum, ex Pſalmo CXLV. ab HIERONYMO FREYERO interpretato.

OMNIUM oculi, Domine,
Spem internam
Et ſemper habent certam,
Communem aſpicientes
Beneficentiam tuam.
Providus enim et lubens das
In tempore dulcem
Eſcam omnibus ſecundùm indigentiam :
Latamque pandens manum
Omne acceptis celeriter ubique
Imples animal cibis.

Εὐχαριςία μετὰ τὸ δεῖπνον, ἐκ Ψαλμοῦ ρμς΄. ὑπὸ τοῦ αὐτοῦ.

Genus Alcaicum. Vid. Pſal. xi. p. 4.

ἘΓΚΩΜΙΑ'ΖΕΙΝ οὐρανομήκεσιν
Ἡμῶν ἐπαίνοις ἄρχετε Κύριον·
Χρηςὸς γάρ ἐςιν καὶ φιλόφρων,
Ἀΐδιός τ' ἔλεητὺς αὐτοῦ.
Δίδωσιν εἶδαρ πάντεσιν ἄρμενον
Ζώοις, ποώδη βοσὶν ἐδέσματα,
Σκωλήκιον τ' αὐτοῖς βοῦσι
Δεινὰ μικροῖς κοράκων νεοσσοῖς.
Εὔτολμον ἵππου οὐκ ἄγαται σθένος
Ἄναξ ἀνάκτων, οὐδὲ ταχυδρόμους
Κνήμας· φιλεῖ τοὺς εὐσεβοῦντας
Σφὴν τ' ἀγαθὴν χέρα προσδοκῶντας.

ΓΕΩΡΓΙ'ΟΥ ΦΡΙΔΕΡΙ'ΚΟΥ τοῦ ΘΡΥΛΛΙΤΣΧΙ'ΟΥ χοριαμβικὸν εἰς κόμμα ί καὶ ιά κεφαλαίου ά παροιμιῶν τοῦ Σολομῶντος.

Genus Choriambicum Aſclepiadeum.

– – | – ⏑ ⏑ – | – ⏑ ⏑ – | ⏑ ⏑ / – |

Ὦ ΠΑΙ͂, κλῦθι λόγων τῶνδ' ὅσιος σοφῶν.
Πλήρης τοι μερόπων γαῖα θεοςυγῶν,
Πλήρης πᾶσα πόλις, πᾶν τελέθει τέγος.
Τοὶ δ' οὐκ αἰδόμενοι τὸν Θεὸν, οὐ βροτοὺς,
Οὐ κύρβεις τε νόμων, οὔτ' ἔθη ἐμμελῆ,

Διψῶσ'

Gratiarum-actio poſt cibum, ex Pſalmo CXLVI. ab eodem.

CELEBRARE ad cœlum-*ſe*-extendentibus
Noſtrum laudibus incipite DOMINUM:
Benignus enim eſt et benevolus,
Æternaque miſericordia ejus.
Dat eſcam omnibus convenientem
Animalibus, gramineos bubus cibos,
Vermiculumque ipſis clamantibus
Vehementer parvis corvorum pullis.
Audax equi non miratur robur
Rex regum, neque veloces
Tibias: amat pios
Benignamque ſuam manum expectantes.

GEORGII FRIDERICI THRYLLITSCHII * choriambicum in proverbiorum Solomonis, cap. i. v. 10 et 11.

O PUER, audi voces haſce pius ſapientes.
Plena certè hominum terra DEO-exoſorum,
Plena omnis urbs, omne eſt tectum.
Et hi quidem non verentes DEUM, non homines,
Neque tabulas legum, neque conſuetudines rectas,

* *Georgius Fridericus Thryllitſchius,* Roda-Lipſienſis, Philoſophiæ ac bonarum artium magiſter, in Latinis Græciſque literis verſatiſſimus, vix annos XXVII natus obiit Wittibergæ, anno 1715.

Sitiunt

Διψῶσ' αἷμ' ἀγαθῶν· καὶ δολεραῖς φρεσὶν
Ἄτῃ πλεξάμενοι πὺξ μάλα, λὰξ μάλα,
Πολλοί τοι ὀλίγους, φαῦλοι ἀμείνονας,
Σφάττουσ' ἀβλαβέας τοῦ Θεοῦ οἰκέτας.
Τῶν δ' οὐ, τέκνον ἐμὸν, σοὶ μελέτα θρόος,
Οὐ πειθὼ κακόνους θέλκτρα τ' ἀθελγέα.
Ἦ μὴν ἔσθ' ὁ κριτὴς, ἔστι τις ἔκδικος
Ὀφθαλμὸς κραδίας δερκομένου θεοῦ.
Εὑρίσκει ἀλιτρὸν κἂν χρόνῳ ἡ δίκη.

## ἸΩΑ΄ΝΝΟΥ ΓΟΤΘΟΦΡΗ΄ΔΟΥ τοῦ ΚΥΡΙ΄ΛΛΟΥ
### τετράστιχά τινα.

Genus Trochaicum tetrametrum Catalect.

| 1 | 2 | 3 | 4 | 5 | 6 | 7 | 8 |
|---|---|---|---|---|---|---|---|
| – ⏑ | – ⏑ | – ⏑ | – ⏑ | – ⏑ | – ⏑ | – ⏑ | – |
| | – | | – | | – | | ⏑ |
| Metrum 1. | | Metrum 2. | | Metrum 3. | | Metrum 4. | |

1. Εἰς τὴν πρώτην Κυριακὴν τῆς παρουσίας.

ΗΛΘΕΝ εἰρήνης ἐς ἄστυ πρᾶος ἑορτὴν σήμερον.
Σῇσιν οὖν νιν, θυμὲ, χαίρων ἀγκάλῃσιν ἐκδέχου.
Κράζε σὺν τυτθοῖσι φαιδρὴν φαιδρὸς αὐδὴν παιδίοις·
Σῶσον ἄν! σὸν σῶσον, εὖγε, λατριν, ὦ σωτηρία!

Sitiunt ſanguinem proborum : et doloſâ mente
Perniciem machinati valde manibus, valde pedibus,
Multi paucos, mali meliores,
Mactant innocentes Dei ſervos.
Horum autem, Fili mi, non tibi curæ-ſit conſortium,
Nec ſuada malè-animata illecebræque injucundæ.
Profectò eſt judex, eſt aliquis ulciſcens
Oculus corda inſpicientis Dei :
Invenit peccatorem etiam ſerò juſtitia.

## JOANNIS GOTHOFREDI HERRICHII * Tetraſticha quædam.

*In Dominicam* I *adventûs.*

VENIT pacis ad urbem manſuetus Rex hodie.
Tuis igitur illum, O anime, lætus ulnis excipe.
Clama cum parvis hilarem hilaris vocem pueris :
Serva, quæſo ! tuum ſerva, quæſo, ſervum, O ſalus !

* *Joannes Gothofredus Herrichen*, ſive, ut Græcè etiam cognominatur, *Cyrillus*, ſcholæ Nicolaitanæ, quæ Lipſiæ floret, rector et poeta ſuaviſſimus, obiit anno 1705 ſeptuagenario major: quum rude aliquot annis antè a magnifico ſenatu donatus fuiſſet. Poemata viri, de juventute ſcholaſticâ meritiſſimi, in unum collecta faſciculum, gratiſſimus ejus quondam diſcipulus et celeberrimus poſtea temporis noſtri polyhiſtor, *Joannes Albertus Fabricius*, edidit Hamburgi, anno 1717, 8vo.

2. *In*

2. Εἰς τὴν δευτέραν Κυριακὴν τῆς παρουσίας.

Εἴ τις ὀχμάζει κραταιῶς κῆρι σφῷ καὶ πίστει
Τὸν Θεοῖο παρθένου τε τρὶς φιλητὸν υἱέα,
Δουλικῇ μολόντα μορφῇ· κεῖνος ἐν νέφει ποτὲ
Καὶ σὺν ἀγγέλοις φανέντα μήτι ταρβήσει κριτήν.

3. Εἰς τὴν τρίτην Κυριακὴν τῆς παρουσίας.

Γνήσιος Θεοῖο κήρυξ οὐ δόναξ τις εὔστροφος
Ἐστιν, οὔτε μαλθακοῖσιν ἀμφὶς ἕστο λωπίοις,
Οὔτε θωπεύει δυνάστας, οὔτε κομπάζει φρεσίν·
Εὐσταθὴς δὲ καὶ καμηλὸς οἶμον ἰθύνει Θεοῦ.

4. Εἰς τὴν τετάρτην Κυριακὴν τῆς παρουσίας.

Τρανὸν ἀσκελεῖ πιφάσκει Φοῖβον ἐν χώρου θρόνος,
Δακτύλῳ τε κειμένοισιν εἰν ὁμίχλῃ μηνύει.
Ὄλβιος φωνῇ παραχὼν τῇδε σώφρων οὔατα·
Ὄλβιός τε δεικνύοντι σῶν ἐς ἄστρα δακτύλῳ.

5. Εἰς ἑορτὴν τῆς γεννήσεως τοῦ Κυρίου.

Πτωσσέτω, γλοιοῖσι χαίρων οἷς ἐπ' ἀμπλακήμασιν.
Ἀντίον δὲ, σφῇσι πτώσσων εἰν ἄλησι, χαιρέτω.
Νηπρεκῶς γὰρ τῷδε σωτὴρ ἐξελέχθη σήμερον.
Ἀλλ' ἁμαρτωλῷ πέφυκε δριμὺς αὐθάδει κριτής.

6. Εἰς ἑορτὴν τοῦ πάσχα.

Ὄφρ' ἁμαρτωλοῖς ἀμυχρὸν αὖθι κερδαίνῃ βίον
Ἄμμιν ἐκ τύμβου σκοτεινῶν ἐξιοῦσιν ἑργμάτων,
Τεθνεὼς σωτὴρ ἀπάντων ἀντὶ κόσμου πλασμάτων
Αὖθις ἐκ τύμβου τριταίῳ ζωὸς ἦλθεν ἤματι.

7. Εἰς

2. *In Dominicam* II *adventûs.*

Si quis tenet firmiter corde ſuo et fide
DEI et virginis ter dilectum filium,
Servili venientem formâ : ille in nube olim
Et cum angelis apparentem non timebit judicem.

3. *In Dominicam* III *adventûs.*

Genuinus DEI præco non arundo quædam mobilis
Eſt, neque mollibus circumamicitur veſtimentis,
Nec adulatur magnatibus, nec ferocit animo :
Sed conſtans et humilis viam dirigit DEI.

4. *In Dominicam* IV *adventûs.*

Clarum aridâ prædicat Phœbum in regione vox,
Digitoque jacentibus in caligine oſtendit.
Beatus, qui voci huic præbet ſapiens aures :
Beatus, qui monſtrantem ſequitur in aſtra digitum.

5. *In feſtum nativitatis Domini.*

Trepidet, ſordidis *qui* lætatur ſuis ſceleribus :
Contrà verò, qui ſuis trepidat in peccatis, lætetur.
Verè enim huic ſervator natus-eſt hodie:
Sed peccatori natus-eſt ſeverus arroganti judex.

6. *In feſtum Paſchæ.*

Ut peccatoribus ſanctam rurſus lucraretur vitam
Nobis ex tumulo obſcurorum prodeuntibus operum,
Mortuus Salvator omnibus pro mundi lapſionibus [de-
lictis]
Rurſus e ſepulcro tertiâ vivus ſurrexit die.

### 7. Εἰς τὴν πρώτην Κυριακὴν μετὰ τὸ πάσχα.

Πέμψεν ἐκ βηλοῦ φιλητὸν ἄμμιν ἀπφὺς υἱέα·
Πέμψεν υἱὸς ἐκ Θεοῖο πνεῦμα θεῖον ὑψόθεν·
Πέμψεν αὐτὸς, πέμψ' ἐκεῖνος, πέμψε τοὺς ἀποστόλους.
Πέμψιν ὦ βροτοῖσι πᾶσιν ἐξόχως σωτήριον!

### 8. Εἰς τὴν δευτέραν Κυριακὴν μετὰ τὸ πάσχα.

Εἰ νομεὺς σύ· σεῖο μῆλόν εἰμι, βῶτορ κύδιμε.
Εἰ σὺ ψωμίζεις με μῆλον, οὔ με πεῖνα δηλέει.
Εἴ με σὸν μῆλον ποτίζεις, οὔ με δίψα λωβάει.
Εἰ σὺ φρουρέεις με μῆλον, οὐ λύκος με πτοιέει.

### 9. Εἰς ἑορτὴν τῆς ἀναβάσεως τοῦ Κυρίου.

Σκληροκαρδίαν βαρείαις ἐξελέγχεις λέξεσιν,
Ὅτι πιστεύειν μαθηταὶ σὴν ἔγερσιν ἠπόρουν.
Πρὸς κρίσιν καββὰς, ὁποίοις ἐξελέγξεις λέξεσι
Μὴ σ' ἄνω βῆναι λεγόντων, Χριστὲ, σκληροκαρδίαν!

### 10. Εἰς ἑορτὴν τῆς πεντεκοστῆς.

Ἔρχεται ζόφου μὲν ἄρχων, αὐτὰρ οὐδὲν ἰσχύει.
Ἰσχὺν οἱ ἔαξεν ἀλκῇ Χριστὸς ἀλκιμώτερος,
Μῆνιν ἐκσβεννὺς γονῆος, δίαν εἰρήνην πορών.
Πράγματος τούτου καθῆκεν ἀῤῥαβῶνα βηλόθεν.

### 11. Εἰς τὴν πρώτην Κυριακὴν μετὰ τὴν τῆς τριάδος.

Ἀσμένως τι δὸς πένησι, ὧν ὑπάρξει πλούσιος·
Ἐκ τραπέζης σῆς ἐδητὺν, ἐκ πίθοιο δὸς πόσιν.
Πυθεδὼν σὸν εἷμα φθεῖρεν, εἷμα γυμνητῷ δίδου.
Ἀφνειὸς γὰρ ὃς ὑπάρχει· μὴ ᾗ δοὺς, πενέστατος.

ΠΡΟΣ-

7. *In Dominicam* QUASIMODOGENITI.

Miſit de cœlo dilectum nobis PATER filium :
Miſit FILIUS de DEO SPIRITUM DIVINUM cœlitùs :
Miſit ILLE, miſit ISTE, miſit HIC apoſtolos.
O miſſionem hominibus oppidò ſalutarem !

8. *In Dominicam* MISERICORDIAS DOMINI.

Si paſtor Tu : tua Ego ovis ſum, Paſtor inclyte.
Si tu me paſcis oviculam, nulla me fames affligit.
Si me tuam ovem potu recreas, ſitis me non lædit.
Si me cuſtodis ovem, me lupus non exterret.

9. *In feſtum aſcenſionis* DOMINI.

Cordis-duritiem gravibus caſtigas verbis,
Quòd credere diſcipuli tuam reſurrectionem nollent.
Ad judicium quum veneris ; quibus increpabis verbis,
Te non aſcendiſſe dicentium, CHRISTE, cordis-duritiem !

10. *In feſtum Pentecoſtes.*

Venit quidem tenebrarum princeps, ſed nihil proficit.
Robur ejus fregit robore CHRISTUS robuſtior,
Iram extinguens Patris, divinam pacem reddens.
Rei hujus demiſit arrhabonem cœlitùs.

11. *In Dominicam* I *poſt Trinitatem.*

Lubenter aliquid da egenis, qui opibus abundas :
De mensâ tuâ cibum, de dolio largire potum.
Putredo veſtem tuam corrupit, veſtem nudo præbe.
Dives enim eſt, qui dat : qui non dat, pauperrimus.

## ΠΡΟΣΕΥΧΗ` ΚΥΡΙΑΚΗ`.

Ὦ ΠΑ'ΤΕΡ ἡμέτερε, τρίτου οὐρανὸν ὑψόθι ναίων,
Οὔνομα σὸν πολύαινον ἀεὶ καὶ πότνιον εἴη.
Καί σε ὑπερμενέα στήσῃς μερόπεσσιν ἄνακτα.
Ὡς δέ σοι οὐράνιοι πειθήμονες ἄγγελοί εἰσιν,
Ὡς καὶ ἐπιχθόνιοί σοι ὑπήκοοι ἄνδρες ἔωσιν.
Εἶτα κ' ἀναγκαίου δωτὴρ βιότοιο γένοιο.
Μηδ' ἡμᾶς ὀλέσῃς αἰδαό περ ἄξια δρῶντας.
Οὐ γὰρ ἀμειβόμεθ' ἄλλῳ ἀνδρὶ ὅς ἄμμε κάκωσε.
Δὸς δ' ἔτι πειρασμῷ ἡμῖν ἐπὶ δαίμονα ὅπλα,
Ὄφρα μὴ ἐκτελέῃ ὃ καθ' ἡμείων μεθοδεύει.
Κοίρανος ὅττι μόνος κύδιστος, κ' ἔστὶ παναλκὴς,
Ἄξιός ἐστι μόνος δόξης ἐπὶ ἤματα πάντα.

Ex L. Rhodomani Palæſtinæ Lib. I. ver. 231. Vid. Pag. 146.

Ἡ τοῦ ἸΩΣΗ'ΦΟΥ ἱστορία ἔμμετρος.

Genus Heroicum, p. 130.

ΑΥ'ΤΑ'Ρ Ἰώσηφον πάντων πέρι φίλατο τέκνων,
Ἱμερτῆς γεγαῶτα Ῥαχήλιδος, οὕνεκα πάντας
Καίνυτ' ἐπιφροσύνῃσι, ϗ ἤθεσι, ϗ πατρὸς αἰδοῖ.
  Οἱ δὲ κασίγνητοι λίην νεμεσήμονι θυμῷ
Κοῦρον ἀποστυγέοντες, ὀλέθρια βυσσοδόμευον.
Καὶ φθόνον αὐτὸς ὄφελλεν, ὀνείρατα θεῖα πιφάσκων,
Οἷς ἔμεναι θέσπιζε μέγας, ϗ ὑπείροχος ἄλλων.
Τῷ μιν ἀνηρείψαντο, διαρραῖσαι μεμαῶτες,
Οἷα πολ' ἄρνα λύκοι ποίμαντρος οἰωθεῖσαν,
Ἀγρῷ πλαζόμενον· καὶ δ' ἵεσαν εἰς τὸ βέρεθρον.
  Αὐτὰρ ἐπεί ῥ' ὀλίγον ἀποκλάμεν, ἐξερύσαντες

Ἀνδράσι

## Oratio Dominica.

O PATER noſter, tertium cœlum ſupernè inhabitans,
Nomen tuum celebratiſſimum ſemper et venerandum ſit:
Teque omnipotentem mortalibus demonſtres regem:
Utque tibi cœleſtes obſequioſi ſunt Angeli,
Sic quoque terreſtres homines Tibi ſint obedientes.
Deinde neceſſarii dator victûs eſto:
Neque nos perdas, gehennâ quamvis digna patremus.
Neque enim par-pari-referimus alii viro, qui nos læſit.
Da etiam tentatorem adversùs dæmonem nobis arma,
Ne perficiat, quæ adversùs nos machinatur.
Quoniam Rex ſolus es celebratiſſimus, et omnipotens:
Dignus es ſolus gloriâ in omnia tempora.

Josephi Hiſtoria Metrica. Vid. *Geneſis* Cap. xxxvii. ſeqq.

CUNCTIS Joſephum natis ſed prætulit unum,
E dulci genitum Rachelide; namque merentur
Ingenium et probitas, cari et reverentia patris.
Iraſci fratres, odiique accendere flammas,
Et ſtruere inſidiis lethum; fomentaque et IPSE
Suggerit invidiæ, dum ſomnia fauſta revelat,
Quîs ſe præferri reliquis divinat. Ubi ergo
Sors tulit, errantem per devia luſtra, nefandam
Ad mortem raptant, veluti cuſtode remoto,
Agna lupis rapitur; terræque voragine mergunt.
Relligio tamen immeritum eſt ſic perdere. Quare

Ἀνδράσι μὲν Φαρίοισιν ἐπωλήσαντο, φέρεσθαι,
Ἣ χθόνα πιαίνει θερινοῖς πλημμυρίσι Νεῖλος.
Μυδαλέην δ᾽ ἐρίφοιο λύθρῳ δείξαντο γεραιῷ
Χλαῖναν ἀποιχομένοιο πρὸς αὔλακας Αἰγυπτίοιο,
Ὡσεί που δάρδαψε, τὸν ἔμπνοον, ὠμοφάγος θήρ.
Ὢ πόποι, οἷον ζῆλος ἐν ἀνθρώποισιν ἔοργεν,
Ὃς βροτὸν εἰς θηρῶν, ἢ καὶ βλοσυρώτερον, ἦθος
Ῥίμφα μεταλλάξειεν, ὁμόγνια φίλτρ᾽ ἀποειπών.
Αὐτὰρ ὁ κρήγυον ἔργον εἰόμενος δόλον εἶναι,
Ὃν παῖδες ψεύδοντο λοχήτορες, οἰκτρὸν ἄλυε,
Μύρετο δ᾽ ὡς τεθνεῶτα, τὸν ἐν ζωοῖσιν ἐόντα,
Καὶ μάλα κυδιόωντα μετ᾽ ἀνδράσι τηλεδαποῖσι.
Τὸν γὰρ ἐν Αἰγύπτῳ πρίατο κτεάνεσσιν ἀγαυὸς
Πεντέφρης, εὐνοῦχος ἐϋσκήπτρου βασιλῆος.
Δαιμονίης δ᾽ ὅ γε δοῦλος ἐκεῖ πειρήσατο μοίρης.
Τὸν γὰρ ἄναξ ἐφίλησε, καὶ ὡς φίλον υἷα γεραίρων,
Κῆδος ἑῶν κτεάνων ἐπετείλατο, καὶ κράτος οἴκου·
Οὕνεκα πιστὸς ἔην, καὶ δεξιὸς ἔργα πένεσθαι,
Ἠδὲ σαοφρονέων. ἀγαθὸς δέ οἱ ἕσπετο δαίμων.
Αὐτὰρ ὁ πυρσοβόλοις ἐρατῆς χαρίτεσσιν ὀπωπῆς
Δεσποίνην ἔφλεξε, κακοῦ τ᾽ ἔμπλησεν ἔρωτος,
Αὐτὸς ἄφιλτρος ἐών. ἡ δ᾽ ἐσσυμένη κεκορέσθαι
Κύπριδος, ἣ μαλερῇσι νόον κατέτηκεν ἀνίαις,
Αἰζηοῦ μαλακοῖσι καθήψατο καὶ στερεοῖσιν.
Ὃς δ᾽ ἄρα μήτε βίῃ γνάμφθη, μήτ᾽ εἴκαθε πειθοῦς
Θελξινόῳ σειρῆνι· Θεοῦ γὰρ ἐπίζετο θεσμόν·
Τῷ ῥά μιν, ὡς μεμαῶτα σεβάσιμα λέκτρα μιαίνειν
Κοίτῃ μοιχιδίῃ, κεδνῷ σήμηνεν ἀκοίτῃ·
Δάκρυσιν ὃς κνισθεὶς ἀλόχου, καὶ ψεύδεσι πισθείς,
Σφίγξεν ἀλυκτοπέδῃσιν ἀναίτιον, ὡς κακοεργόν.
Ἀλλά μιν ὄμμα δίκης πανδερκὲς εἰς φάος αὖτις,
Ἐκ ζοφεροῦ κεράμοιο, μετ᾽ ἀγλαΐῃσι κόμισσεν,
Αἴγυπτον δ᾽ ἀγαναῖς ὑπὸ χείρεσι πᾶσαν ἔθηκεν,
Εἵνεκ᾽ ἐπιφροσύνης, νυχίους τῇ κρῖνεν ὀνείρους.
Πρῶτα μὲν ἐν δεσμοῖσιν ἐὴν τεκμήρατο μοῖραν
Ἰλλομένοις ἑταίροισιν, ἐνύπνια φάσματ᾽ ἐνίψας.
Οὐδὲ τέλους ἀφάμαρτεν· ὁ γὰρ θάνεν ὑψικρεμασθείς,
Ὃς φέρεν οἰωνοῖσιν ὕπερ κράτεσφιν ἐδωδήν·

Extractum, Phariis, vendunt, ut abactus in oris
Serviat, æſtivo quas augmine Nilus inundat.
Grandævoque patri mox hœdi ſanguine tinctam
Oſtendunt veſtem jam Nili rura petentis:
Ac ſi dente fero laniârit beſtia fratrem.
Proh ſcelus! Invidiæ quid non furor efferus auſit?
Exuit hic homini mores, et triſte ferarum
Induit ingenium, generis dum ponit amorem.
Sed verum ratus eſſe dolum, quem callida finxit
Natorum improbitas, luctu ſe afflictat acerbo
Infelix genitor, deplorans funera vivi,
Qui mox ad ſummos caput extulit altus honores.
Dives opum Potiphar, multo et præſignis honore,
Emit eum, toti regis qui præfuit aulæ:
Mirandiſque illum vicibus variabile fatum
Imbuit. Hunc Dominus proprium ceu pignus amabat,
Committens curamque domûs regimenque laborum.
Namque fidelis erat, cunctiſque induſtrius actis,
Et caſtus. Felix igitur ſors adfuit ultrò.
Igniferas ſed dum veneres huic gratia formæ
Clam jacit, inſano dominam ſuccendit amore,
Ipſe pudoris amans: quæ mox ſaturare furorem
Ardens, æſtifero dum carpitur igne medullas,
Blandis demulcet juvenem, terretque ſeveris.
Nil valet imperium, ſuadæ nil blandula Siren
Flexanimæ: tanti ſacræ eſt reverentia legis.
Idcirco thalamos ac ſi tentâſſet heriles
Stupro contemerare, viro hunc mala detulit uxor.
Is motus lacrymis, et ficto crimine, durì
Inſontem, ut verè ſontem mox compede vincit.
Juſtitiæ hunc tandem, qui conſpicit omnia, vultus,
Reſpicit, indignoque trahens e carcere toti
Præficit Ægypto, regales inter honores.
Cœlicus ut juvat afflatus, quo ſomnia verè
Explicat. In vinclis primùm ſua fata duobus
Prædicit, dubii ſub imagine condita ſomni:
Et probat iſta fides. Triſti cruce figitur, eſcam
Alitibus qui ferre ſuo ſe vertice vidit;

Οἰνοχοῶν δ' ἕτερος προτέρην ἀνελάζυτο τιμήν.
Καὶ μετέπειτ' αὐτῷ Φαρίης ἰθύντορι γαίης
Ἐννυχίων κατέλεξε βοῶν σταχύων τε κέλευθον,
Εὐτραφέων ἰσχνῶν τε, καὶ εὐβριθέων καὶ ἀκάρπων,
Ἑπτά γε κεκριμένων· τοὺς μὲν λέγεν ἑπτ' ἐνιαυτοὺς
Εἶναι, παντοίοισιν ὀνείασι τηλεθόωντας·
Τοὺς δ' ἄλλους μερόπεσσιν ἐπαχθεῖς χήτεϊ σίτου.
Καί οἱ μῆτιν ὕφηνε, κακῆς ἄλκτειραν ἀνάγκης,
Ἧι λιμὸν προφύγοι, καὶ μυρία φῦλα σαώζοι·
Εὐφορίης καιρῷ πολυαχθέα καρπὸν ἀγεῖραι,
Ἄρκιον ὡς μετόπισθεν ἔῃ λαοῖσι καὶ αὐτῷ.
   Τῷ μιν ἄναξ πάσης ταμίην ἀπεδείξατο γαίης,
Καί οἱ δεύτερον εὖχος ἑῆς ἀπεδάσσατο τιμῆς·
Ἐκ τοῦδ' Αἰγύπτου διέπων κράτος εὐσταχυούσης,
" Κοιρανίην ἤρτυνεν, ὅπως ὄχ' ἄριστα νέμοιτο,
" Ἀρχῶν εὐνομίῃσι, καὶ εὐσεβίαις ἱερήων.
Ἀμφοτέροις δ' ἀπέταξε φόρων αὐτάρκεα μοῖραν,
Ἐκφαίνων ναίτῃσι Θεοῦ νόμον ὀρθοσέβαστον·
" Οἵη δὲ θέμις ἐστὶ θεόφρονος ἡγεμονῆος.
   Ὡς δ' ἐπὶ λιμὸς ὄρουσε, φέρων στονόεσσαν ἀνάγκην,
Ἄλφιτα δ' ἔλλιπε πάντα, καὶ ἐσκλήκει μένος ἀνδρῶν,
Πλὴν πέδον Αἰγύπτου θρεψίμβροτον ἐνναιόντων·
Τοῖς γὰρ ἐπηετανὸν βίοτον νήησατ' Ἰωσὴφ,
Σφῆσι προμηθείῃσι, καὶ ἀλλοδαποῖς μεταδοῦναι.
Τῆμος ἐπεστιχόωντο, φίλης χρήζοντες ἐδωδῆς,
Κερδαλέοι, γενετῆρος ἐφημοσύνῃσιν, ἀδελφοί.
   Αὐτὰρ ὁ τοῖσιν ἔφηνε, καὶ ἀγνώσσουσιν ὀπωπὴν,
Οὔνομα καὶ γενεὴν, ἐπεὶ πόθος ὀξὺς ὄρινεν.
" Ἐκ κραδίης δ' ἐφίλησε, καὶ οὐκ ἐμνήσατο λώβης.
   Αἶψα δὲ καὶ γενετῆρι, καὶ ὅσσους ἔτρεφεν οἴκῃ,
Ἐς χθόνα Νειλῴην θυμάρμενον ἔντυνε πομπὴν,
Τέμπεα δ' ἐρχομένοις Γεσσήνια δῶκε νέμεσθαι.
   Εὐφράνθη δ' ὁ γέρων, ὡσεί τις ἐς ἄϊδα νεύων
Γηροβόροις ὀδύνῃσι, παρ' ἐλπίδα τεύξατ' ἀρωγοῦ
Ἄτης αἰχμόροιο, μένος δέ οἱ αὖτις ἀγέρθη·
Ὡς πάλιν ἐζωγρεῖτο βίος πατρὶ παῖδ' ἐσορῶντι,
Ὃν μέλπηθρον ἔφασκε πάλαι θήρεσσι γενέσθαι.
   Ἤνυσε δ' ἔνθ' ἐτέων τρεῖς πεντάθας, ἠδὲ δύ' ἄλλους
Κύκλους, οὓς ἐτέλεσσε δυώδεκα μήνεσι Φοίβη.

Ἦμος

Pincernæ veterem recipit mox alter honorem.
Pòſt etiam regi, Memphitica ſceptra tenenti,
Septem nocturnæ vaccas ſpicaſque quietis,
Pingues et macras, plenas vacuaſque, diſerto
Eloquio pandit: ſeptem prænunciat annos
Affore, quîs largè ſe effundat frugibus æſtas,
Et totidem, quos magna cibi penuria vexet.
Et dat conſilium, cum conſilioque ſalutem,
Quo pellatque famem, mortaliaque agmina ſervet;
Plurima fertilibus frumenta ut colligat annis,
E quibus effœtos ſuperent alimenta per annos.
  Totius hinc regni (ſic rege jubente) creatur
Princeps, et munus capit a rectore ſecundum
Sceptrigero: Ægyptumque ſuo moderamine dextrè
Conſtituit: verâ niteat pietate ſacerdos,"
Juſque magiſtratus foveat rectèque miniſtret."
Ac dignos tribuit reditus ambobus: et ipſe
Oſtendit numen quâ ſit ratione colendum
Legitimè: ſancto quod dignum eſt principe munus."
  Ingruerat prædicta fames. Jam deficit omnis
Copia: gens hominum paſſim tabeſcit: in arvis
Nilois ſed ſufficiens eſt victus. Ad annos
Nam plures illîc prudentia fida Joſephi
Annonam cumulârat, ut et vicinia haberet.
  Huc igitur fratres amor et penuria edendi
Injuſtos adigit: jubet et pater ipſe Jacobus.
Quîs genus et nomen, non agnoſcentibus illum,
Exponit tandem, multùm ſtimulatus amore
Sincero: fidoque injuria corde ſepulta eſt."
  Mox etiam patrem, et quotquot domus ampla tenebat,
Advocat, et tutâ ſatagit deducere pompâ.
Arvaque deductis Geſſenia tradit ad uſum.
  Lætatur ſenior, veluti quem morbus ad umbras
Jam premit: at medicus fatum depellit amicus,
Præter ſpem fracto reparans in corpore vires.
Sic patri, intuitu nati, quaſi vita redibat,
Præda feris pridem qui creditur eſſe cruentis.
  Illîc tranſegit vitæ tria luſtra, ſed illis
Adjecit geminum, revolutis menſibus, annum.

Dumque

Ἦμος δ' ἐν προθύροισιν ἴδεν μόρον, υἷασι μοίρας
Ὀψιτελεῖς, Χριστοῦ τε γενέθλιον ἔχραεν ὥρην.
Φῆ δ' ὡς ἡγεμόνων οὐκ ἄμμορος ἔσσεθ' Ἰούδας,
Ἡγεμόνων, σκήπτροις τε λόγοις θ' ἱεροῖς ἐπεχόντων,
Παρθένιος πρὶν πᾶσι πολύλλιτος ἔρχεται ἥρως.
Ταῦτα θεοπρεπέων εἰς οὐρανὸν ἔπτατο θυμός·
Σῶμα δ' ἄρ ἐν Χεβρῶνι πατρῴῳ κρύπτετο τύμβῳ,
Οὗ τόδε παῖδες ἔνεικαν ἀποιχομένοιο τοκῆος.

## Ὁ τοῦ ἈΝΤΙΟΧΟΥ τοῦ Ἐπιφανοῦς διωγμός.

## Genus idem, et ex ejuſdem autoris, Libro IV.

ΤΩι δ' ἄρα δυσεβίην ὁ δεύτερος ἦεν ἀδελφὸς
Ὑβριστὴς Μενέλαος, ἀπηνείῃ δὲ χερείων.
Οὗτος ὑποσχόμενος χρυσοῦ πολυκυδέος ὁλκὴν
Θαυμαστὴν βασιλῆϊ, δολοφροσύνῃσιν ὅμαιμον
Ἐξ ἕδρης στυφέλιξε, καὶ ὡς οὐκ εἶχε τελέσσαι,
Αἴολα συλήσας θεοδέγμονος ὄργανα νηοῦ,
Πέρνατο· μυριόδακρυς ὅθεν κλόνος ὤρνυτο λαοῖς,
Οἵ οἱ θεσμοπόλῳ παρὰ βήματι φαῖνον ἔλεγχον,
Αἰνὰ κατηγορέοντες. ὁ δ' αὖ σκολιῇσι δικαστὴν
Κλέψας φραδμοσύνῃσι, βιοφθόρον ἔκφυγε ποινὴν,
Καὶ τ' ἀδίκῳ προΐαψε κατηγόρον ἑσμὸν ὀλέθρῳ.
Οὐλοὸς, ὅς ῥα καὶ αὐτὸν ὁμόγνιον εἷλε σαγήνῃ
Κερδαλέῃ, κήρεσσι δαφοινὸν κύρμα γενέσθαι,
Ὄρχαμον εὐσεβίης Ὀνίην, λαοῖσιν ὀνητὸν,
Ὧν αὐτὸς φθόρος ἦεν, ἐν αἵματι πάντα δαΐζων.
Ὡς λύκος, ὃν γαστήρ τε καὶ ἔμφυτος οἶστρος ἀνῆκε,
Πυκνὰ δασυστέρνων ὑποδύμεναι ἕρκεα μήλων,
Βώτορος εὑδομένοιο, κυνῶν τε ἀπὸ νόσφιν ἰόντων·
Αὐτίκ' ἐπασσύτερον τεύχει φόνον, αὐτίκα λαιμῷ
Ἐμπίνει μέλαν αἷμα, καὶ οὐκ ἀνέκοψεν ἐρωὴν,
Πρὶν σταθμὸν νηκύεσσι καὶ αἵματι πάντα μιῆναι·
Ὣς ὁ διαρπάζων Ἰακωβίδος ἔθνεα ποίμνης,
Πάντα φοναῖς ἐμόλυνεν ἀεικέσιν. ὡς δ' ἄρ' Ἰήσων
Εἰς ἄκρην μιν ἔεργεν ὑπέρβιος, ἰχθρὸν ἀλίξων

Σύγγονον,

Dumque videt fatum jam ſtare in limine, natis
Venturam dixit ſortem, Chriſtique propinquum
Natalem: quòd non ſit defecturus Iudæ
Præſes, qui ſceptrum teneat, ſacriſque miniſtret,
Donec virginei naſcatur ſanguinis heros.
Hæc effata altum petiit mens æthera; corpus
Accepit Chebron: functi quò membra parentis
Tranſportant nati, patrioque in marmore condunt.

## ANTIOCHI *Epiphanis* perſecutio. Vid. Machabæorum Lib. I. et II.

OLLI [*Jaſoni*] germanus non impietate ſecundus,
Sed, *Menelaus*, erat ſævis immanior actis.
Is pondus regi magnum promiſerat auri,
Ut, fratre excuſſo, ſancti frueretur honore
Supremo templi: ſed cùm non ſuppetit auri
Copia, ſacrilegus divinis tradita vendit
Vaſa miniſteriis. Populi gravis inde tumultus
Subſequitur, ſacri qui intentat crimina furti
Pontifici. Sed judicii capitale periclum
Effugit, haud modicis corrupto judice nummis,
Et facit actores capitali occumbere pœnæ.
Quem non perdiderit vel vi, vel fraude malignâ?
Qui fratrem involvit truculentæ in retia cædis,
Inſignem pietate *Onian*, in commoda gentis
Intentum: peſtis cui perniciem iſta creabat.
Ut lupus, in denſas quem fortè irrepere caulas
Ingenitus furor, ingluvieſque inſana coegit;
Cùm Domini atque canum cuſtodia fida remota eſt,
Confertas peragit ſtrages, nigrumque cruorem
Pro libitu ſorbet; cupidis nec ſe abſtinet auſis
Antea, quàm totum funeſtet cædibus antrum:
Sic *Iacobeam* crebro Ille cadavere gentem
Inceſtat, rabiem exſatians. Dumque inſtat *Iaſon*
Intrudens arci; frater vi major et arte,

*Antiochi*

Σύγγονον, Ἀντιόχου βλοσυρὴν κίκλησεν ἀρωγήν.
Ὃς μάλα παιφάσσων, λοιπὸν σχεδὸν ἔθνος Ἑβραίων
Ἐκ ῥιζῶν κεράϊξε, καὶ εἰς βυθὸν ἔμβαλεν ἄτης,
Θηρὸς ἔχων κραδίην βροτοσίνθορος, ἀνδρὸς ὀπωπήν,
Ἀτρεκέως τ' ὀλοοῦ γεγαὼς τύπος ἈΝΤΙΧΡΙΣΤΟΥ.
Ἦ γὰρ ὑπερφιάλου δαμάσας πόλιν ἄρεος ὁρμῇ,
Οὐλομένων πρηστῆρα κακῶν ναέτῃσι τίνασσεν.
Οὔπω μὲν τρίταιον φονίης σέλας ἠριγενείης
Ὠκεανοῦ ζοφόεσσαν ὑπαὶ χύσιν ἕσπερος εἷλκεν·
Ὃς τότ' ἀεικελίοις ἐπὶ πήμασι κρύψεν ὀπωπήν·
Μυριάδας δ' ὀκτὼ μελέων ἔσφαξε πολιτέων,
Τοσσατίας δ' ἐπέδησε, καὶ ἄλλοις δῶκε πρίασθαι·
Καὶ μυσαροῖσι πόδεσσιν, ὑπ' ἐννεσίῃ Μενελάου,
Δῶμα Θεοῖο πάτησε, βροτοῖς πάντεσσι σεβαστόν·
Ἐκ δ' ἄρα χρήματα πάντα, τά τ' ἐσθλῶν εὔνις ἀκοιτῶν,
Νυμφάων χορὸς ἔνθα, καὶ ὄρφανα τέκνα σάωζον,
Αἴνυτο, καὶ ζαθέου κειμήλια ποικίλα νηοῦ.
Χίλια δ' εἰς Συρίην χρυσοῦ πολύτιμα τάλαντα,
Ὀκτώ τ' ἄμμιγα τοῖς ἑκατοντάδας, ἧκε φέρεσθαι.
Φρουρὴν δ' αἰχμητῶν εὐερκέος ἔνδοθεν ἄκρης
Ἱδρύσας, κάρτυνεν ἀλιτρόνοον Μενέλαον.
Ὡς δ' ἔτος ἀμφιτρόχασσε τὸ δεύτερον ὦρσε μαχητῶν
Ὧν πρόμον Ἀπόλλωνος ἐπώνυμον, ἀντί Ἑβραίοις.
Ὃς φιλίην σκήπτων, κακὰ δ' ἐν φρεσὶ λοίγια ῥάπτων,
Ἕβδομον ὡς ἀμάρυσσεν ἀεργηλῆς φάος ἠοῦς,
Ἤλασε πορφυρέης δολομήχανον ἐς λίνον ἄγρης
Ἄσκεπτον πτολίεθρον, ὑπ' ὀξυβόλοιο σιδήρου,
Καὶ πυρὸς ἀκαμάτοιο βίῃ, μάλα πάντ' ἀμαθύνων.
Χαλκὸς μὲν φάγεν ἄνδρας, ὑπὸ φλογὶ δ' ἤμυον αὐλαί,
Δυσμενέων δ' ὑπὸ χερσὶν ἐϋκτέανος φέρετ' ὄλβος·
Καὶ πόλις ἀρρήκτοισιν ἀγαλλομένη τοπάροιθεν
Φράγμασι, πάντ' ἀπέβαλλε βιαίης ἕρκεα λώβης·
Βουλαῖς αὐτομέδοντος, ὃς ἤθελε λαὸν Ἑβραίων
Γυμνὸν ὁμῶς ἀλκῆς καὶ θάρσεος ὧδε τίθεσθαι,
Πρίν σφισιν ἐντῦναι μιαρὸν σέβας, οἷον ἐώλπει.
Τοὔνεκεν ἀρχαίου κρατερὸν τείχισμα Δαβίδου
Εὐπύργοις στερέωσεν ἐπάλξεσιν, ἐν δὲ μαχητῶν
Παμπόλλων λόχον εἷσεν, ἐνέργεον ἄστυ φυλάσσειν.

*Antiochi* depoſcit opem, patriæque ruinam.
Hic irâ tumidus ſtirpem propè gentis *Hebrææ*
Eruit ex imo, cladiſque in gurgite merſit.
Diverſæ monſtrum formæ ; fera bellua mente,
Fronte homo; peſtiferi verè typus *Antichriſti.*
Urbem etenim poſtquam violento marte ſubegit,
Civibus hei trucium vibrat preſtera malorum.
Ter germinum *Auroræ* nondum jubar, aſtra reducens
*Heſperus* Oceani nigris detraxerat undis,
(Qui tunc ſe implicuit tenebris, ne infanda videret)
Myriadeſque octo miſeris de civibus hauſit;
Et totidem captas tenui divendidit ære.
Ingreſſuſque Dei *Menelai* hortatibus ædem,
Terrigenis adytum temerat venerabile cunctis;
Et ſanctas direptat opes, quas orba maritis,
Dilectiſque, cohors, genitoribus, intulit illuc
Tutò ſervandas, magni et donaria templi.
Hinc octoginta dedit auri et mille talenta
In *Syriam* portanda aulam. Sic dives ab arâ
Rex fit: et in ſummâ cuſtodia ponitur arce,
Militis inſtructus quo robore ſit *Menelaus.*
Alter erat vertens annus, cum milite cinctum
Innumero *Abramidis* immiſit *Apollinis* auctum
Nomine, qui ſimulare fidem bonus, abdere fraudem,
Septima cùm ſacræ *Phœbus* tulit otia lucis,
Implicuit ſacram funeſtis caſſibus urbem
Non circumſpectam. Nam dum furit ignis et acris
Ferri acies, captam vaſtantur cuncta per urbem;
Nempe viros haurit ferrum, Vulcania perdit
Flamma lares; et opum ſi quid manet, abſtrahit hoſtis.
Urbs igitur, muri quæ non frangenda tenebat
Robora, præſidio muri nudata pateſcit,
Imperio regis; qui ſic conatur inermem,
Reddere, ut amittat quo fidat et arceat hoſtem,
Dum cupit infandos *Solymis* inducere cultus.
Idcirco priſci nova propugnacla *Davidis*
Circumdans arci, numeroſo milite complet,
Præſidio ut valido ſubjectam terreat urbem.

Poſtmodò

Πέμψε δ' Ἀθηναῖον μετοπίϛερον ἄμμιγ' ἐφετμῆς
Ὡς πάντες, Συρίοισιν ὑπὸ σκήπτροισιν ἐόντες,
Ἓν σέβας ἀμφιέπωσιν ὁμοφραδέεσσι μενοιναῖς.
Ἑλλήνων κατὰ θεσμὸν ἀπότροπον, οἵ ῥα σέβιζον
Εὐχαῖς καὶ θυσίῃσι θεῶν ἀπερείσιον ἔθνος·
Τῷ δ' ἑτεροφρονέοντι βίος καὶ κλῆσις ὄληται.
Αὐτὰρ ἀγὸς βασιλῆος ἐφημοσύνῃσι πιθήσας,
Ἐμβεβαὼς Σολύμοισι, Θεοῦ πάλιν ὕβρισε νηὸν
Λώβαις ἀῤῥήτοισιν. Ὀλύμπιον ἐν γὰρ ἔθηκε
Ζῆνα πανελλήνεσσι σεβάσιμον, ἱερὰ δ' ἔρξεν
Οὐρανίοις μωμητὰ κελεύσμασιν· ἄγχι δὲ βωμῶν
Ὄργια μάργα τέλεσσε κυνώπιδος Ἀφρογενείης,
Κοίταις αἰσχρολεχέσσι· παλαιοῦ δ' υἷας Ἀβράμου,
Τάμνειν ἀκροφύτευτον ἀεξιγόνου σκέπας αἰδοῦς
Νηπιάχοισιν, ἔρυξε, καὶ ἄλλας κόψε θέμιϛας·
Αἰνομόρους δ' ἐβίησεν ἐϋτραφέων κρέα χοίρων
Δαρδάπτειν γενύεσσι πάρεκ νόμον, οἰνομανοῦς τε
Εὐάζειν θιάσους τε καὶ ὄργια κύντατα Βάκχου,
Ἀσκῆσαι δὲ καὶ ἄλλα κατ' ἤθεα λυγρὰ Πελασγῶν·
Σὺν δ' ὁσίαις τελεταῖς ἱερῶν θεσπίσματα βίβλων
Πάμπαν ἀτημάλδυνε, καὶ εἴ τινα τέτμεν ἐρευνῶν
Ἐνδυκέως, ζαθέοισιν ἰαινόμενον σελίδεσσιν,
Αἶψα δαϊζομένοιο κατὰ χροὺς ἔβλυσεν αἷμα,
" Καὶ φόνος εὐσεβίης θεοτερπέος ἦεν ἄεθλον.
Ὡς ὅγε ῥίμφ' ἀμάθυνε Θεοῦ νόμον οὐρανόφαντον,
Καὶ σέβας ἀγλαότιμον, ὅλην κατὰ γαῖαν Ἑβραίων.
Πάντοθι δ' ἐν πτολίεσσι κακῶν ϛίχας ἔσσε μαχητέων,
Οἵπερ ἀναινομένους ὀλοαῖς ἐνοπῇσι πιθέσθαι,
Παντοίᾳ κεράϊζαν ἀνηλέος εἴδεϊ πότμου.
Πλεῖϛοι μὲν φονόεσσαν ὑποτρομέοντες ὁμοκλὴν,
Κυδαλίμου θ' ὁρόωντες ἀπόϛασιν ἀρχιερῆος,
Αἰδόμενοι βασιλῆα καὶ οὐλοὸν ἱεροφάντην,
Δυσεβίῃ φρένα δῶκαν ἀνάλκιδα, καὶ βάλον αἰδῶ
" Οὐρανίου κρατῆρος ἐπὶ χθονός· ἠδὲ σαώζειν
" Σφὸν δέμας ἱμείροντες, ἅμα ψυχὴν ἀπόλεσσαν.
" Ὡς ἐν ἀμηχανίῃσι παλίμβολός ἐϛιν ὅμιλος.
Παῦροι δ' οἷς χθονίων προφερέϛερος εἴδετ' ὄλυμπος,
Καὶ σέβας Ἀθανάτου γεραρώτερον ἠέπερ ἀνδρῶν,

Poſtmodò *Judæis* non mitia juſſa ferentem
Miſit *Athenæum*, *Syriæ* ut qui ſceptra verentur,
Unâ eâdemque omnes ſe relligione tenerent,
More (ſed haud recto) *Graiûm*; qui plura colebant
Quàm numeres vario ſacrorum numina ritu:
Quique ſecus faceret, vitâque opibuſque careret.
Dux igitur regis mandata nefanda capeſſens
Ingreditur *Solymam*, templumque inceſtat, et aras
Fœdis conſcelerat ſacris: et ſede reponit
Auguſtâ ſimulachra *Jovis*, quem tota colebat
*Græcia*, *Olympiaci*, cognomine. Nec ſat, in ipſis
*Idaliæ* celebrat penetralibus orgia *Divæ*
Obſcœno coitu; gentemque coercet *Abrami*,
Summa recens genitis reſecent ne tegmina verpæ,
Ut lex edicit; cujus ſanctiſſima jura
Mille modis violat: miſeros quoque cogit ad eſum
Carnis porcinæ, contra præcepta *Tonantis*.
Utque ineant fœdo thiaſos atque orgia *Baccho*:
Cæteraque ut peragant tetro pro more *Pelaſgûm*.
Cumque piis abolet *divorum* ſcripta librorum
Ritibus: et ſi quem ſolerti indagine cepit
Veſtigans, legeret veterum qui oracula vatum,
Huic cruor extemplò cæſo de corpore manat.
Sic pietas cædem, ceu præmia digna, reportat."
Sic facilè extincta eſt ipſo lex tradita cœlo,
Puraque relligio, per *Hebræi* rura popelli.
Armigeros etiam diſponit ubique per urbes
Cuſtodes: qui quos juſtis parere negantes
Deprêndunt, vario mactant diſcrimine lethi.
Multos, dum ſævas cupiunt avertere pœnas,
Pontificemque vident divinam prodere legem,
Præſulis et regis reverentia movit, ut irent
Impietatis iter tritum, ſummique pudorem
Abjicerent Domini: Sed dum mortalia ſervant"
Paulò pòſt animam miſero cum corpore perdunt."
Quàm leviter vulgus rebus mutatur in arctis!"
Pauci, quîs potior terrâ tunc viſus *Olympus*,
Qui divina magis quàm juſſa humana timebant,

In

Εὐσταθέως θείῃσιν ἐπεστήριξαν ἐφετμαῖς
Ἧς φρενὸς ἠνορέην. τοὺς δ' οὐ φόβος οὐλοὰ φαίνων,
Ἔκλασεν εὐθαρσεῖς, οὐκ ἐλπίδος ἥπαφε στερρὴν,
Οὐ πενίη, καὶ φύζα, καὶ αἴσχεα, καὶ μελεδῶναι,
Οὐ φόνος, αἱμαβόρον πελάσας χάος, οὐ κράτος ἐχθρῶν,
Ὦσεν ἀπὸ κρηπῖδος, ἐφ' ἧς Θεὸς αὐτὸς ἔρεισεν.
Ἄλλοι μὲν προλιπόντες ἐπαύλια καὶ φίλον ὄλβον,
Φεῦγον ἅμ' οἰκήων ἀγέλῃ πρὸς ἐρημάδα χῶραν·
Πέτρων τ' αὐτοφύτοις κοιλώμασιν ἠλάσκοντες,
Εἷλκον ἐν ἀμμορίῃ, πάντων χατέοντες, ἀϋτμήν·
Καὶ βιότου στήριγμα Θεοῦ σφίσιν ἤντετ' ἀρωγή.
Τοῖς καὶ Μαλαθίης Ἀσμώνιος ἦεν ἑταῖρος,
Οἰοπόλους κευθμῶνας ὁμοῦ παίδεσσι μεταλλῶν.
Ἄλλοι δ', οὓς ὀλοοὶ μερόπων κίχον ἀγρευτῆρες,
Παντοδαπῇ φθείροντο μόρου πολυαλγέος αἴσῃ·
Κτήματα δ' εἰς γάζην βασιληΐδα πάντα φορεῖτο.
Τοῖς ἐνὶ κυδρὸς ἔην Ἐλεάζαρος, ἀμφὶ καρήνῳ
Λευκὸς, ἐνὶ κραδίῃ δὲ βίην ἀδάμαντος ἀέξων,
Εὐσεβίης κατ' ἄεθλον ἀτειρέος· ἦ γάρ ἑ δεινοῖς
Καὶ μαλακοῖς ὤτρυνεν ἄναξ ἀθεμίστια ῥέζειν,
Δειπνήσαντα συῶν παχέων κρέας. ὃς δ' ἀνένευεν·
Οὐδὲ μὲν οὐ σκῆψαί τιν' ὑπερβάτιν ἤθελεν ὕβριν,
Μή τινα δυσνομίης πρόφασιν λαοῖσιν ὀρέξῃ.
" Ὁπλότεροι γὰρ ὁρῶσιν ἐς ἤθεα λαμπρὰ γερόντων.
Τοὔνεκ' ἀμυθήτοις ὀδύναις ὑπὸ γυῖα δαϊχθεὶς,
" Δεῖξεν ἐφημερίοισι βροτοῖς, ὅτι κάλλιόν ἐστι
" Τλῆναι κύντατον οἶτον, ἀνηλείῃσι τυράννων,
" Ἢ νόμον εὐσεβίης προλιπεῖν, καὶ σκάνδαλ' ἐγεῖραι.
Ἔνθα φάνη μέγα θάρσος ἀριστολόχοιο γυναικός·
Ἣ κούρους τέκεν ἑπτὰ, καὶ ἔτραφε σώφρονι θεσμῷ,
Ἤθεσιν ἐννομίοισι· καὶ ὡς βαρὺς ἔγρετ' ἄεθλος,
Παρφασίῃ κάρτυνε, Θεοῦ σέβας εἰς μόρον ἴσχειν.
Τοὺς γὰρ ἀπορρίψαι καθαρὸν νόμον οὐκ ἐθέλοντας,
Ὡς βασιλεὺς ἐκέλευσεν, ὑποδρηστῆρες ἐφετμῆς
Φρικαλέοις στρέβλωσαν ὑπ' ἄλγεσιν, αἰόλα ποινῆς
Μήδεα τεχνήναντες ἀφειδέος· οἱ δ' ἄρα θυμὸν
Παρθέμενοι σταθερόν τε καὶ ἄτρομον, οὐχ ὑπόειξαν
Ἀκαμάτης ὀδύνῃσι πολυσχιδέος θανάτοιο.

Κάμνε

In ſacræ firmant animos fundamine legis
Immotos; quos non, minitans dira omnia, fregit
Terror, non demulſit ſpes, non flexit egeſtas,
Non fuga, non probrum, non anxia cura, nec atrum
Diducens rictum cædes, hoſtiſque poteſtas,
Depulit a recti fortiſſima pectora cultu.
  Quinetiam multi, laribuſque opibuſque relictis,
Deſertas ineunt dulci cum pignore terras.
Dumque cavis latitant petris, rerum omnium egeni,
Et vix exiguæ ducunt ſpiramina vitæ,
Experiuntur opem juſto tamen æthere miſſam.
Quos et *Matathias Aſmonius* inter agebat,
Solivagos forti ſervans cum prole receptus.
  Multi quos *Syrii* venatio ſæva tyranni
Ceperat, hei variâ profundunt morte cruorem:
Quorum regali cedunt bona prodita fiſco.
  Quîs aderat conſors *Eleazarus* ille, capillos
Canus; at in veræ luctu pietatis habebat
Cor adamante omni rigidum magis. Huic gravis inſtat
Exactor, duris placidiſque, ut carne ſuillâ
Veſcendo temeret legem. Sed reſpuit Ille,
Nec ſimulare volens patriæ contraria legi,
Ne quam peccandi tradat popularibus anſam.
Namque ſenum captant mores ætate minores."
  Ergo ſuppliciis cruciatus membra nefandis,
Egregium cunctis ſpecimen mortalibus edit:"
Quòd potius tolerare necem, torquente tyranno,"
Perdere quàm ſacra jura, piaſque offendere mentes."
  Extulit egregiæ tunc ſe fiducia matris
Cum ſeptem natis; ſanctæ quæ legis ut omni
Imbuerat cultu, ſic et certamine in iſto
Hos animat, rectum ut ſummam tueantur ad horam.
  Namque hi, divinam renuunt dum prodere legem,
Regis ad edictum tormenta per omnia rapti,
Quæ variâ intentant crudeles arte miniſtri;
Supplicia expendunt varia. At mens fortis inhærens
Propoſito tantos non unâ in morte dolores
Contemnit ſecura, nec a pietate recedit.

Κάμνε μὲν ἀνδροκόπων δαιτρῶν μένος· οἱ δ' ἄρα μίμνον
Ἀκμῆτες, δολιχαῖς τε μεληδόσιν οὐκ ἀπόειπον.
" Φίλτρα γὰρ ἁγνὰ Θεοῖο, ϗ ἐν φρεσὶ τηλεθόωσα
" Ἐλπωρὴ βιότοιο μεθύστερον ἀστράψοντος,
" Πᾶσαν γυιοβόροιο πάθης ἤμβλυνεν ἀκωκήν.
Παίδων δ' εἰσορόωσα φονὴν μεγαλήτορι θυμῷ,
Εὐψύχῳ, γενέτειρα, βοῇ θάρσυνεν ἕκαστον.
Ὀψὲ δὲ καγχαλόωντες ἐπ' ἀφραδίῃσι φονήων,
Ἀκλύστοισι νόεσσιν ἐς αἰθέρος ὁρμὸν ἔκελσαν·
Καί σφιν ὁμοῦ περόωσα μόρου βυθὸν ἔσπετο μήτηρ.
Ὡς τις ἔχων πόδα νηὸς εὔστροφον, εὖτε πελάσσῃ
Εὐλιμένοις κροκάλῃσι, μετ' ἐκβεβαῶσι ϗ αὐτὸς
Λοίσθιος εὔφρονα ταρσὸν ἐπ' αἰγιαλοῖσιν ἐρέσσει·
Χαίρει δ' ὡς σόος ἦλθε σὺν ἀρτεμέεσσιν ἑταίροις,
Ἐκπερόων ῥοθίων τε βίην, ϗ μῆνιν ἀήτων·
Ἀσπάσιος δὲ νέοις ἐπικέρδεσι τέρπεται ἦτορ.
Ὡς κείνη μακάρεσσιν ἐφ' υἱάσιν ἡρωΐνη
Αἰθέρος ἐν λιμένεσσιν ἀκηδέα θυμὸν ἰαίνει.
Λαμπρὸς δ' εὐσεβέεσσιν ἀεὶ τύπος ἐστὶ τεκούσαις.
Ὢ πόποι, οἷα τάλασσαν ἀμύμονος εἵνεκα θεσμοῦ
Ἀρτιτόκῳ μετὰ παισὶ λεχωΐδε νηπιάχοισιν.
Αἱ γὰρ ὀλασσάμεναι δολίην βασιλῆος ἐφετμὴν,
Ἄκρα φίλοις τεκέεσσιν ἄρασσον δέρματα μεζέων,
Ὀξυτύποις λάεσσιν, ὅπερ χρέος ἔσκε νόμοιο.
" Καὶ τὰ μὲν ἦκα γένοντο, τὰ δ' ἀμφαδὸν ὅσσα βόησεν.
Ὡς κλύε δ' ἡγεμονεύς, ὡς θυάδι πάφλασεν ὀργῇ·
Αὐτίκα δ' αὐχενίῃσιν ὑπὸ βροχίδεσσιν ἀϋτμὴν
Ῥῆξε δύω κούροισιν, ἐϋτλαγέων δ' ἀπὸ μαζῶν
Μητράσιν ἀσκεπέεσσι λιπόπνοον ἐκρέμασ' ἄχθος,
Ῥιγεδανὸν δὲ θέημα, δι' ἄστεος εἷλκεν ἀγυιῶν,
Διστὸν ἀειραμένας κραδίῃ ϗ σώματι φόρτον.
Ὀψὲ δ' ἀεικείης κεκορημένος ἀλγινοέσσης
Ὦσε κατὰ κρημνοῖο, ϗ ὀστέα πάντα τέθραυστο.
Οἰκτρὸν δ' αὖ μόρον ἔσχεν ἀρίστων χιλιὰς ἀνδρῶν·
Οἳ κρυερὴν βασιλῆος ἀλυσκάζοντες ἐνιπὴν,
Δῦσαν ὑπ' αὐτορόφου σπείους τινὰ ῥωγάδα πέτρην.
Τοὺς δὲ μεταλλευτῆρες ὑπερθύμοιο τυράννου
Ὡς σκιεραῖς ἐνόησαν ὑποπτήσσοντας ἐρίπναις,

Carnificum vis ipſa quidem langueſcit, at olli
Non languent: afflicta magis fit vivida virtus."
Nam *Jovæ* ſincerus amor, decoriſque ſequenti"
Effulſuri ævo, fido ſpes pectore fervens,"
Omne dolorifici tormenti hebetavit acumen."
Mactarique videns coràm ſua pignora mater,
Unumquemque juvat generoſæ hortamine vocis.
Exultant olli ſuper his vecordibus auſis
Torquentûm, ſalviſque animis portum ætheris intrant.
Quos ſequitur cordata parens per cærula mortis.
  Utque gubernaculum moderans, ubi littora prênſat
Tuta ratis, poſtquam ſocios præmiſit, et ipſe
Ultimus in ſicco deponit margine greſſum;
Et gaudet comites ſalvos, ſalvumque magiſtrum,
Æquoreos penetrâſſe lacus, ventique furorem,
Et bene de partis bona ſentit gaudia lucris:
De natis gaudet ſic Heroina beatis
In cœli ſtatione, omni perfuncta labore.
Exemplumque piis eſt matribus inde ſequendum.
  Hei, pro lege Dei, quæ, quanta, et qualia, paſſa
Sunt duo, cum fœtu vix nato, pectora matrum!
Nam nihili Syrii facientes juſſa tyranni,
Pelliculas ſummo reſecant a pene tenellis,
Ancipitis (quod lex depoſcit) acumine ſaxi.
Sed clam facta canit mox publica fama per urbem."
Ut dux reſcivit, tumidâ mox bulliit irâ.
Mox pueris adimit teneræ ſpiracula vitæ,
Funibus inſertans collum; mox veſte carentûm
Exanime heu matrum ſuſpendit ab ubere pignus;
Perque omnes raptat vicos (proh triſtia viſu!)
Geſtantes non corde minùs quàm pectore molem.
Tandem præcipitans laceros de mœnibus artus
Comminuit, rabidum et ſaturat vix morte furorem.
  Eheu quàm fatum ſortitur flebile mortis
Mille viros; qui dum truculenti evadere regis
Inſtituunt rabiem, tutæ ſe fragmine petræ
Occultant: Vigilis ſed eos indago tyranni
Poſtquam deprêndit tenebroſâ in rupe latentes,

Αὐτίκα κερδαλέῃσιν ἐπερρώοντο μενοιναῖς.
Ἦ γὰρ ἀεργοσεβὲς κατὰ σάββατον ἄγχι μολόντες
Κλειομένοις πολέμιξαν· ἐνὶ σπήλιγγι δ' ἐόντες
Ἦμαρ ἑορτάσιον πεφυλαγμένοι ἦκα θάασσον,
Καὶ νίκην ἀπονητὶ κακοῖς προΐεντο μαχηταῖς·
Οἳ σφέας, οἰκτροβόαις μετὰ παίδεσιν ἠδ' ἀλόχοισι,
Καπνοβόλοις ἐδάμασσαν ἀποπνίξαντες ἀϋτμαῖς.
Ἄλλα δὲ πολλὰ τέτυκτο μιαιφόνα πάντοθι γαίης.
Καὶ τότ' ἀεικελίοις ὑπ' ὀνείδεσι πεπληῶτα
Ὡς νόμον εἶδε Θεοῖο, δαϊζομένην τε γενέθλην
Παίδων εὐγενέων, καὶ ὀλωλότα τίμιον ὄλβον,
Δῖα ΠΑΛΑΙΣΤΙΝΗ, θαλερῆς ἀπεσείσατο κόσμον
Ἀγλαΐης, χρυσέην δ' ἀπεκάββαλεν ἄμπυκα κόρσης·
Δάκρυσι δ' ὄσσε τάκη, καὶ στήθεα χερσὶν ἄμυσσε,
Καὶ κονίαις ἐμόλυνεν ἀραιῆς βόστρυχα χαίτης.
Οἰκτρὰ δ' ὀδυρομένη, πάσας μάστιζε κολώνας,
Πάντας ἄδην κενεῶνας ἑῆς μινυρίσμασι λώβης.
Ἠχὼ δ' ἔνθα καὶ ἔνθα γόων ἐπιμάρτυρ' ἰωὴν
Ἀψίκτων ἀνέπεμπεν. Ἰορδάνιον δὲ ῥέεθρον
Θρηνῷ πλημμύρεσκε, καὶ αἵματι φοίνιον ἦεν,
Αἵματι καιομένων, θρηνῷ δ' Ἑβραΐδος αἴης.
Εἰδομένης γαμετῇ πολυκηδεῖ, τὴν μάλα δηρὸν
Δηθύνων μερόπεσσιν ἐν ἀλλοδαποῖσιν ἀκοίτης,
Λείπει νηπιάχοισι μεθ' υἷασιν, ἄλγε' ἔχουσαν,
Ἀντιβίων ὑπὸ χερσὶν ἀνηδέσιν· οἵ ῥα μεταξὺ
Ἔκπερσαν πτολίεθρον, ἕλον δ' ἅμα καὶ δόμον αὐτῆς·
Καὶ τοὺς μὲν παίδων φονίῳ κείρουσι σιδήρῳ,
Τοὺς δ' ἐπὶ δούλιον ἦμαρ ὁμοῦ σύρουσι τιθήνῃ.
Ἣ ῥα κινυρομένη τεκέων ὕπερ, ἠδὲ καὶ ὄλβου,
Ἁρπαμένου φθονεραῖς ὑπὸ χείρεσιν, αἰνὰ πάσχει,
Νωλεμέως τε βοᾷ σφέτερον πόσιν, εἴποτε μέλλῃ
Νοστήσας οἶκονδε βιοσσόα λύτρα κομίζειν,
Καὶ πάλιν ἁψάμενος νεαρὸν φάος, οἶκον ἐγείρειν.
Τοῖος μὲν τύπος ἦε ΠΑΛΑΙΣΤΙΝΗΣ τότε λυγρῆς.
Ὡς δ' ἤδη προθέλυμνα φανέσκετο πάντ' ἀπολέσθαι·
Ὦρσεν ἀοσσητῆρα καὶ ἐσχατίην Θεὸς ἄτης.
" Ὡς γάρ οἱ φίλον ἐστὶν ὀϊζύουσιν ἀμῦναι,
" Ὁππότ' ἄδην φθινύθῃσι βιαρκέος ἐλπὶς ἀρωγῆς.

Ecce canum præſtò bipedum vis; undique cingunt
Incluſos, (feſtæque aderant jam Sabbata lucis)
Oppugnant antrum: Sed dum reverentia feſti
Non ſinit illatam vim vi depellere, vincit
Abſque ullo reſides certamine callidus hoſtis.
Mox ipſos, queruloque unà cum pignore matres,
Præfocant rapido fumi nidore ſubactos.
  Plurima præterea ſentit crudelia tellus.
Et tunc ſub damnis ignominiâque fatiſcens;
Dum videt extingui legem, dum nobile gentis
Exſcindi germen, bona dum fugere omnia longè;
Dia Palæstine ſoliti ſplendoris amictum
Excutit, auricomum vellens a vertice mundum;
Et vultum humectat lacrymis, et pectora tundit,
Atque racematos malè turpat pulvere crines.
Non locus ullus erat, non mons, non vallis, et agri
Planities, quem non feriit ploratibus ægris,
Amiſſum lugens decus. Heu, miſerabilis, eheu
Echo reſponſat paſſim; lacrymiſque graveſcit
Flumen *Iordanis*, multoque cruore rubeſcit,
Dum plorat tellus, pereuntque in ſanguine cives.
  Hæc tunc eſt nuptæ ſimilis, quam tempore longo
Deſtituit, verſans peregrinâ in gente, maritus,
Et ſobolem: interea patriam ferus occupat hoſtis,
Ærumniſque ipſam multis ſimul implicat, ædes
Vaſtat, opeſque aufert: natoſque aut enecat armis,
Aut ad ſervitium raptat, miſeramque parentem
Inter captivos alios ſine vindice tollit.
Quæ partim natos, partim deperdita natis
Hoſtili, plorans, dextrâ, mœroribus ævum
Impendit, crebro repetens clamore maritum;
Servatus ſi fortè domum, pretium afferat hoſti,
Et redimet captos, relevetque a clade Penates.
Tam facies miſeranda fuit telluris *Hebrææ*.
  Jamque videbantur fundum ruere omnia ad imum,
Cùm Deus excivit medicum, qui vulnera ſanet.
Ille Dei mos eſt, rebus ſuccurrere lapſis,"
Cùm jam nulla ſuper ſpes creditur eſſe ſalutis."

Ὦρσε δὲ Ματαθίην Ἀσμώνιον, ᾧ ῥα γεραιῇ
Ἡλικίῃ βαρύβουλι μένος φρεσὶν ἔμπεδον ἦεν.
Οὗτος ἀναιθύσσων θεοδινέος ἔμπυρον ὁρμὴν
Ζήλου ἐνὶ πραπίδεσσι, Θεοῦ νόμον ἀντία κοινῶν
Ἐχθρῶν εὐσεβίης πινυτῇ μάλα ῥύσατο τόλμῃ.
Βρίμην δ' Ἀντιόχοιο βαρύφρονος ἔσχε, πρὸ πάντων,
Ὧν αἰδὼς κατὰ φῦλα γερασφόρος ἦεν Ἑβραίων.
Χειρὶ δ' ἑῇ κέντησεν ὁμόπτολιν, ὅστις ἐτόλμα
Αὐτοῦ παπταίνοντος ἀναιδέα θύσθλα πένεσθαι.
Πέφνε δ' ἀτάσθαλον ἄνδρα θυώδεος ἀγχόθι βωμοῦ.
Πὰρ δ' αὐτῷ βασιλῆος ἀνάρσιον ἀρχὸν ἔκοψεν
Αἰχμητῆς βαρύθυμος· ἀπημαύρωσε δὲ βωμούς·
Πάντας δ' οἷς μεμέλειτο Θεοῦ σέβας, ἔντεα δύνειν
Θαρσαλέως ὀρόθυνε, καὶ ἄσπετον ὕβριν ἀμύνειν.
Καὶ σφίσιν εὐφρονέουσι μεθ' υἵασιν, ἄτρομος ἥρως
Εἰς λέπας ἡγεμόνευσεν ἐρημοπόλοιο χαμεύνης·
Ἐνθάδ' ἀολλίσσας φυγάδων στρατὸν, οἵ ῥα πρὸς αὐτὸν
Ἔῤῥεον, ὡς ἀρχὸν μελανάστιον ἄμφι μέλισσαι,
Ἀντιπάλοις ἐπόρουσε καὶ ἐξελίναξεν ἐδέθλων,
Καὶ βωμοὺς ἀμάθυνε· καὶ αἰσχινόμοις πολίεσσιν
Εὐσεβίης σέλας ἦρεν, ἔπαυσε δὲ δούλιον ἄτην.
Ὡς δὲ θεουδείης παλιναυγέος ἠδὲ γαλήνης
Ἀρχὴν λαοσσόοιο τιτήνατο κύδιμος ἀνὴρ,
Ἀσπάσιος μακάρων ἐς ὁμήγυρον ὄψιμος ἦλθεν,
(Εὖτέ ἑ μοῖρα κάλεσσε, μακρὴν κλώσασα πορείην)
Πρῶτον ἔτος πεζόων σφετέρης νομοκηδέος ἀρχῆς.
Ἧς τότε κυδρὰ λάβοντο χαλινωτήρια πέντε
Υἱες, ἐφημοσύνησιν ἀριστονόοιο τοκῆος·
Σίμων αἰσχίνοος, καὶ καρτερόθυμος Ἰούδας,
Ἐσθλὸς Ἰωναθῆς, Ἐλεάζαρος ἄσχετος ὁρμὴν,
Τοῖς τ' ἐπ' Ἰωάννης κρατερὸς, καὶ πιστὸς ἀδελφοῖς.
Ὧδε ΠΑΛΑΙΣΤΙΝΗΣ Λευΐτιδος αἷμα γενέθλης
Εἵλετο κοιρανίην, γενεὴ δ' ἐπέπαυτο Δαβίδου,
Ὡς ἑκατὸν χρόνος εἶχε καὶ ἑξήκοντα τελέσσαι,
Καὶ τρισσὸν λυκάβαντα, γενέθλιον ἄχρις ἐπ' ἦμαρ
Χριστοῦ, παρθενικῆς θεομήτορος ἐκπροφανέντος.
Οὐ γὰρ δὴν τοπάροιθεν ἀφειδέϊ χειρὶ παλάξας
Αὐτὸν, ἵν' Ἀντιόχοιο φύγοι χέρας, ἔσπασε πότμον,

*Matathias* fuit hic *Aſmonius*, inſita virtùs
Cui juvenilis erat, licèt annis obſitus eſſet.
  Hujus ut impavido ſanctus ſe pectore fervor
Juſtis exeruit flammis, prorumpit in hoſtes
Communes, legemque haud vanis aſſerit auſis.
*Antiochique* minas primus compeſcit eorum,
Qui penes *Hebræos* aliquid virtutis habebant.
  Intrepidâque manu juvenem de ſanguine *Judæ*,
Quem vetitis adolere Deis nova ſacra videbat,
Obtruncat, digniſque cruoribus imbuit aram.
Quin et præfectum regis prope conficit ipſum,
Cum ſociis abolens devota altaria Divis:
Et quîs relligio cordi fuit integra, ad arma
Evocat unanimes, et ſe defendere cogit.
  Hos ita contractos, natis circumdatus Heros
Eximiis, agit in tutæ deſerta latebræ:
Dum ſe confirmet melius: Mox confluit exul
Plurimus, ut glomerantur apes circum undique regem.
Ingruit ergò *Syris* nidoque expellit; et aras
Deſtruit; et ſanctæ temerata per oppida legis
Reſtituit cultum, jugaque aſpera decutit hoſtis.
  Sic iterum patriæ cum relligionis honorem
Erexit, tutæ reparavit et otia pacis,
Cœlituum tandem ſe cœtibus intulit Heros,
Cùm longum reſecans penſum jam Parca vocaret,
Exulibuſque unum dixiſſet jura per annum.
  Quini ſuſcipiunt fratres ex ordine clavum
Poſt obitum ſancti (ſic juſſerat Ipſe) parentis:
Cordatus *Simon*, et forti pectore *Judas*,
Strenuus *Ionathas*, animoque *Eleazarus* acri,
Fidus et in fratres, validuſque ad bella *Johannes*.
  Et ſic imperium *Levitica* natio terræ
Accepit ſacræ, privatâ gente *Davidis:*
Cùm ſexaginta centum et tres inſuper anni
Reſtarent *Phœbo* peragendi ad tempora CHRISTI,
Edendi in lucem caſto de ventre puellæ.
Non etenim multò antè ſuâ ſeſe ipſe peremit
Dexterâ, ut *Antiochi* rabidas evaderet iras,

Ἀρχῶν Ἰσαϊδέων ὁ πανύσατος, ἐσθλὸς Ἰαννῆς.
Δέξατο δ᾽ οὐ μεταδὴν ἱεροῦ πρεσβήϊα νηοῦ
Σπέρμα θεοσέργων μενεδήϊον Ἀσμωναίων,
Ἄλκιμος ὡς νούσοιο θοῆς πρηνίζετ᾽ ὀϊστῷ,
Ὃς νηοῦ πρόμος ἦε μετ᾽ ἄστοργον Μενέλαον,
Ὃν παῖς Ἀντιόχοιο, τὸν Εὐπάτορ᾽ αὐδάζονται,
Ἤγαγεν ἐς Συρίην, καὶ φοίνιον οἶτον ὄπασσεν,
Οὕνεκα πυρσὸς ἐγένετο πολυκλαύτου πολέμοιο.
Καὶ κράτος ἔμπεδον ἦεν ἀριζήλων Μακαβαίων,
Ἄχρι τριηκόντων ἐτέων μέτρησε κέλευθον,
Ἠδ᾽ ἑκατὸν μετὰ τοῖς γενέτης φαεσίμβροτος ὠρῶν,
Καὶ βαρὺς Ἡρώδης Ἀσμώνιον ἔσβεσε κῦδος.

## ΠΑΛΑΙΣΤΊΝΗΣ, ἤτοι ἉΓΊΑΣ ἹΣΤΟΡΊΑΣ τὸ πέμπτον.

## ΜΑΧΆΒΙΟΙ.

Ἐν πέμπτῳ, Μαχαβαῖον ἔχει γένος ἡνία λαῶν.

ΠΑΤΡΟ`Σ δ᾽ οἰχομένοιο πρὸς οὐρανὸν, ἦρχεν Ἰούδας,
Θεσμοσόους κατ᾽ ἀγῶνας, ἐὼν πρώτιστος ἀδελφῶν.
Αἶψα δ᾽ ἀπειρεσίην στρατιὴν νίκησεν Ἀπολλὼ,
Ὃς πέλεν Ἀντιόχῳ ταμίης Σαμαρίτιδος αἴης·
Σὺν δ᾽ ὀλίγοις Σήρωνος ὑπέρβια φῦλα δάμασσεν·
Ὃν βασιλεὺς μετέπειτα λυγροῖς ἐφέηκεν Ἑβραίοις.
Ὡς δ᾽ ἔτος ἡγεσίης τρέχε δεύτερον, ὄλβιος ἥρως
Ἀρχηγὲς Λυσίαο, Σύρων ὃς ἐπίτροπος ἦεν
Ἐκδήμου βασιλῆος, ἐν ἀλλοδαποῖσιν ἐόντος,
Εἰς φόβον ἐντροπάλιξεν, ὁμοῦ Νικήνορος ἀλκῇ
Γοργίεω μένος αἰπὺ, καὶ ἠνορέην Πτολεμαίου,
Πλείονα μυριάδων τετάρων στρατὸν ἀντεπάγοντας.
Τόν ῥ᾽ ὅγε κάρτα δάϊξε· καὶ ὕστερον αὐτὸν ἀμύνων
Ὁπλομανῆ Λυσίην ὑπ᾽ ἀεικέα κάββαλε φύζαν,
Εἰς Συρίην φορέοντα μετ᾽ αἴσχεϊ δύσφορον ἄλγος.

Καὶ

Qui fuit *Iſaidûm* ductor poſtremus, *Iannes.*
Non ita pòſt longùm ſacri quoque munia templi
Tranſtulit in ſeſe gens *Aſmonæa:* ſuperbum
*Alcimon* ut domuit ſubiti vis impigra morbi,
Qui poſt infidum *Menelaum* præfuit aris.
Hunc ſatus *Antiocho*, *Eupatoris* cognomine gaudens,
Tranſtulit in *Syriam*, funeſtâ et morte necavit,
Tanti quòd belli fax pernicioſa fuiſſet.
Summaque duravit *Macabæâ* in gente poteſtas,
Donec triginta centumque evolveret annos
Sol pater horarum, qui inter vaga ſidera regnat:
Sævus ubi *Herodes* Aſmonia ſceptra coercet.

## PALÆSTINÆ, hoc eſt, HISTORIÆ SACRÆ Liber quintus.

### MACABÆI.

Dirigit in quinto populi Macabæus habenas.

MOX Patri ad Superos miſſo ſucceſſit *Iudas*,
Defenſor Legis, fratres qui maximus inter.
Mox et ſtipatum valido agmine cædit *Apollon*,
Qui dux *Antiochi* fuit in *Samaritide* terrâ;
Paucos objiciens; validum et *Serona*, furentis
Legatum regis, fundit cum millibus octo.
Alter erat currens annus, cum ſtrenuus Heros
Præfectos *Lyſiæ*, (*Syriâ* curator in aulâ
Hic erat abſentis peregrinâ in gente monarchæ)
Cogit abire fugâ, *Nicanora* cum *Ptolemæo*,
*Gorgia* quîs ſocius: qui contrà egêre quaternas
Pluſquam myriades, cupidas evertere *Hebræos*.
Sed victor *Macabæus* erat: qui poſtmodò et ipſum
Occurrens acie *Lyſiam* dare terga coegit:
In *Syriam* retulit qui dedecus atque dolorem.

Καὶ λάϐρῃ ἀπάμυνε βαρυζήλων Ἀμανιτῶν,
Τιμόθεος τῶν ἦρχε, καὶ εὐκλέας ἤρατο νίκας
Εὐπολέμων μετὰ χερσὶν ὁμοσθενέεσσιν ἀδελφῶν.
" Ἀλλά τις ἠϊθέῳ κρατερῶν σκόπος ἔστ' ἀέθλων;
" Τέρμα τί θαυμασιων νικέων; ἐ νήπιος ὄγκος,
" Δημοφάτος θ' ὕϐρις, τρυφερῆς ἐ τέρψιος οἶστρος,
" Οἷς ἕτεροι χραίνεσιν ἐλέγχεσι κάλλεα νίκης,
" Εὐτυχίης φθονεροῖς ἐπ' ἀήμασιν ἀφραίνοντες.
" Παῦροι γὰρ ΘΕΟ'Σ οἷσιν ὑπ' ἄρεϊ δῶκε δαμάζειν·
" Πληθὺν ἐναντιϐίων, αὐτὰς δεδάασι δαμάζειν,
" Νίκης τ' εὖ θέσθαι γεραρῆς τέλος, οἷον ἔοικεν.
Ὁρμὴ μὰν πολέμοιο, Θεῦ κλέος ἦεν Ἰέδα,
Καὶ πάτρης μέγ' ὄνειαρ ἀεικέα τετληκυίης.
Τῷ βαρὺ δυσμενέων ῥήξας σθένος, αὐτίκα νηὸν
Δυσσεϐίης ἐκάθηρεν ἀναιδέος, ἐκ δὲ τίναξε
Δείκελον αἰνοσέϐαστον, ὃ τέτρατον εἰς ἐνιαυτὸν
Κύδιμον ἔσχε θόωκον· ὁμῶς δὲ Θεοῖο μελάθρῳ
Τείχισε πάτριον ἄστυ, καὶ ὤπασε φέγγος Ἑϐραίοις,
Πάντ' ἀνάγων εἰς κόσμον, ὅσον σθένος ἦε, παλαιόν.
Ὄφρα δὲ ταῦτα γένοντο μετ' ἀμπνείεσιν Ἑϐραίοις,
" Τόφρα κακὸν βασιλῆα θοὴ φθάσεν Ἀδρήστεια,
" Ἄνδρασιν ἢ κότον αἰὲν ὑπερφιάλοισι κορύσσει.
Θῦνε γὰρ εἰς Πέρσας, Ἐλυμαΐδος ἕδρανα Περσῶν,
Πληθύϊ σὺν στρατιῆς ὀλοόφρονος, ἧχι πέπυστο
Χρήματα πολλὰ λαθόντα καθ' ἱερὸν Ἰοχεαίρης.
Ἀλλά μιν ἀντιόωντες ἐϋσθενέεσσι πολῖται
Χείρεσιν ἐντροπάλιζον, ἔρυντο δὲ θέσφατον ὄλϐον.
Αὐτίκα δ' ἐξ ἀΐδε πολυπενθέος ὦρσε δαφοινὴν
Τισιφόνην Νέμεσις βαρυκαρδίος, ἣ φλόγα θερμὴν
Ἀνέρος ἐν φρεσὶν ἧψεν ἀκηλήτοιο μερίμνης,
Εἵνεκ' ἐλεγχειῆς λιποκερδέος· ὅσσα δ' Ἑϐραίων
Χάρμην ἀγγέλλεσα βοηθόος ἦλθεν Ἐριννύϊ
Ὀργὴν προσίνεσα κακοφρονέοντι τυράννῳ.
Ἡ τάχα μισγομένη σὺν ἀταρτηρῆσιν ἀνίαις,
Διπλόον ἄλγος ἔθηκε· κακοῖς δ' ἐπὶ τοῖσιν ἐναργῶς
Ἦλθ' ὀλεθρολόκεια Θεῦ τίσις ἀνδρὶ πονηρῷ.
Μνῆσε δ' ἀταλασθίης μιν ἀναιδέος, ἥπερ ὅμιλον
Εὐσεϐέων ἐκάκωσε, Θεῦ ἀλάπαξε θέμιστας.

Διῖξε

Quin et *Amonitas*, quos duxit iniquus *Hebræis*
*Timotheus*, repulit; ſimul et victoria fratres
Condecorat, ſubigant alios ut fortiter hoſtes.
Sed quæ meta fuit juveni præfixa laborum?"
Quò retulit palmas? Non vana ſuperbia, non eſt"
Plebivora improbitas; non luxurioſa voluptas;"
Quîs alii turpare ſuæ decora inclyta palmæ"
Gaudent, proſperitas fatuos quos invida reddit."
Nam pauci, magnis vincunt qui viribus hoſtes,"
Se ſe ipſi vincunt, animos ſubiguntque rebelles,"
Et curant, ut verum habeat victoria finem."
Gloria vera Dei, patriæque indigna ferentis
Utilitas, ad bella acrem ſtimulabat *Iudam*.
Mox igitur, rabidos ubi profligaverat hoſtes,
Triſte nefas templo expurgat; ſtatuamque *Pelaſgi*
Exſcindit *Jovis*, in quartum quæ manſerat annum
Sacrâ fixa loco; fanumque inſtaurat, et urbem
Communit; lucemque ſuis accendit *Hebræis*,
Priſtina reſtituens decora, ut ſinit illa facultas.
Dumque ita reſpirat genus *Iſraële* profectum,
Interea *Nemeſis* regem divina (ſuperbis"
Perpetuas acuens iras) comprêndit atrocem."
Iverat in *Perſas* magno cum robore belli,
Scilicet ut caperet munitam *Elymaïdos* arcem;
*Dictymnæ* in templo vis auri ubi magna latebat.
Sed contrà egreſſi cives non ſegnibus arcent
Sacrilegum manibus, bonáque indirepta tuentur.
Nec mora *Tiſiphonem* lacrymoſi e ſedibus Orci
*Adraſtea* ciet, face quæ ſuccincta tremendos
Curarum totis mox ſenſibus implicet ignes,
Excuſſi ob probrum lucri: Mox rumor *Hebræos*
Succeſſus referens, *Furiæ* ſe adjungit, et æſtus
Aggravat irarum lymphato in corde tyranni.
Et dum ſic curis mordacibus ardet et iris,
Vulnus habet geminum: cumque his ſe peſtibus offert
Horribilis viſu juſti vindicta Tonantis,
Accelerans lethum, redigitque in pectora, ſanctos
Quo ſcelere afflictans cœleſtem avertere legem

Δεῖξε δὲ ῥόπτρ' ἀΐδαο, τά μιν τάχα μέλλε πιέζειν.
Τοὔνεκ' ἀποφθινύθων ὑπὸ κήδεσιν ᾤχετο λυγρῶς,
Εὐμενίδων συνεχῆσιν ὅπη νῦν δαίρεθ' ἱμάσθλαις.
" Σκηπτοῦχοι φράζεσθε κακόφρονες, οἷον ὄνειαρ
" Εὐσεβίη βλοσυροῖσι νοήμασιν ἀντιφερίζειν.
" Γλήνης ψαῦσε Θεοῖο θεόφρονα φῶτα χαλέψας. κ. τ. λ.

## ΠΑΛΑΙΣΤΙ΄ΝΗΣ, ἤτοι ἉΓΙ΄ΑΣ ἹΣΤΟΡΙ΄ΑΣ τὸ ἕβδομον.

### ΧΡΙΣΤΟ`Σ.

Ἕβδομον, ἱστορίην Χριστοῦ σωτῆρος ἐνίσπει.

ΚΟΙΡΑΝΙ΄ΗΣ γὰρ τοῦδε κατὰ χρόνον ἔνθεος υἱὸς
Παρθενικῆς ἔργου ζωαρκέος ἦρχε, διδάσκων
Ὀμφῇ θεσπεσίῃ· καὶ θαύματα χρήσιμα κάμνων·
Καὶ θνήσκων βροτέης λώβης ὕπερ· αὖθί τ' ἀνιστάς·
Ἀμβαίνων θ' ὅθεν ἦλθε· καὶ ἔνθεον οὖρον ἰάλλων·
Ὧν τε λόγων φωστῆρα κατὰ χθόνα πᾶσαν ἀείρων.
Εὖτε γὰρ ἡλικίης τριτάτη δεκὰς εἰς πέρας αὐτῷ
Ἐκδραμέειν τάχα μέλλεν, ἐπ' ἀχράντοισι μέλεσσιν
Ἁγνὸν ἐδέξατο νᾶμα θεοκράντοιο λοετροῦ,
Βαπτιστέω χείρεσσιν ἀμύμονος. αἶψα δ' ὄλυμπος
Ἠνοίχθη, καθαρῆς δὲ πελειάδος εἴδεϊ λάμπον
Πνεῦμ' ἅγιον Σωτῆρος ἐπῃωρεῖτο καρήνῳ·
Καὶ γενετὴρ ὕψιστος ἀπ' αἰθέρος ὀξὺ λεληκὼς
Μαρτυρίῃ τοιῇδε θεόμβροτον υἱὰ μύησε·
" Οὗτος ἐμὸς φίλος υἱὸς, ἐμαῖς φρεσὶ πάμπαν ἑαδώς.
Ἐκ τότε μὲν λόχμῃσιν ἐρημοπόλοισι κιχήσας
Δαίμων, ἀργαλέοις τεχνήμασι πειρήτιζεν.
Ἀλλὰ μάτην ἐπόνησε, καὶ αἰσχρὴν ἤρπασε φύζαν.
Τῆμος δ' ἐργολόγου κηρύγματος ἐσθλὸν ἀγῶνα
Οὐρανόπαις ἔντυνε· πόνων τ' ἐρίηρας ἑταίρους
Κρίνατο· τῶν οἳ κεδνότατοι καὶ φίλτατοι ἦσαν
Δώδεκ'· Ἰωάννης πολυφίλτατος, ἠδ' Ἰάκωβος
Μείζων καὶ μείων, Σίμων καὶ κεδνὸς Ἰούδας,

Ἀνδρείας

Tentârit, monſtratque ultricis verbera pœnæ.
Hâc ita mœrorum conſumptus tabe ſub Orcum
Labitur, *Eumenidum* flagra nunc ubi ſontica geſtat.
Vos bene ſceptrigeri triſtem perpendite finem,"
Quem fert impietas, quæ jura oppugnat Olympi."
Pupillam *Jovæ* lædit, pia pectora lædens. &c."

## PALÆSTINÆ, hoc eſt, HISTORIÆ SACRÆ, Liber ſeptimus.

### CHRISTUS.

Septimus hiſtoriam texit tibi, *Chriſte* Redemptor.

REGE ſub hoc etenim caſtâ de virgine natus
Inchoat officium noſtræ DEUS ipſe ſalutis:
Vera docet, peragit miracla benigna, ſuâque
Morte nefas mortale piat, vivuſque reſurgit,
Et redit unde abiit; ſacri dat munera flatûs;
Et verbi lucem totum defundit in orbem.
Namque decas ſancti cùm tertia curreret ævi
Ad finem *Chriſto*; divino membra lavacro
(Quæ ſine labe tamen) juſſum Baptiſta faceſſens
Tingit ei. Mox ſe referat domus aurea cœli;
Et ſacer ex alto, niveæ ſplendore columbæ,
Flatus adeſt, lotumque caput nitidâ obtigit alâ;
Et pater æternum nati teſtatus amorem,
Talia voce DEUS, rutilâ declamat ab æthrâ,
Hic natus mihi dilectus, mea ſumma voluptas."
Invenit hinc Illum deſertis perfidus oris,
Intentans omnis, *Satanas*, molimina fraudis;
Sed fuga turpis adeſt, vanum comitata laborem.
Exin cœlipotens præconia ſancta capeſſit
Heros, et fidos ſibi deligit inde ſodales.
Inter et hos arcto binos ſibi jungit amore
Et denos. *Jannes* eſt intimus, inde *Iacobus*
Cum majore minor; *Simon* et amicus *Iudas*,

*Petrus*

Ἀνδρείας καὶ Πέτρος· ὁμῶς Θωμᾶ δὲ Φίλιππος,
Ματθαῖος, προδότῃ δ' ἅμα Βαρθολομαῖος Ἰούδᾳ.
Τοὺς ἕλε βαπτίζειν τε, καὶ ἀνδράσι χρηστὰ διδάσκειν.
Τοῖς δ' ἅμ' ἀειζώοιο Θεοῦ πινυτόφρονα βουλὴν
Ἀνθρώποις κήρυξε· νόμῳ Πατρὸς ἔμπυρον ὀργὴν
Ὀξύνων, κακίης τ' ὀλοόφρονος ἦθος ἐλέγχων,
Καὶ ζωῆς φαίνων θεοτερπέος ἄπλανον οἶμον.
Ἐκ δ' εὐαγγελίοιο βροτοῖς λαοσόον οἶκτον,
Καὶ χάριν εὔστοργον σφετέρου γενετῆρος ἀνοίγων,
Ἐν Χριστῷ μερόπεσσιν ἐπαντιόωσαν ἀλιτροῖς.
Εἰς τόσον, εἶπε, Θεὸς κακοήτορα φίλατο κόσμον, Joh. iii.
Ὡς καὶ μουνογενῆ φίλον υἱέα λύτρον ἔδωκεν,
Εἰς μόρον, ὀλλυμένων θνητῶν ὕπερ· ὄφρα τὶς αὐτοῦ
Δραξάμενος καθαρῆς μετὰ πίστιος, οὔτοτ' ὄληται,
Ἀλλὰ Θεοῦ κληροῦχος ἀγήραον εἰς βίον ἔλθῃ.
Δεῦτε βροτοὶ στυγεροῖσιν ὑπ' ἄχθεσι τετριγῶτες Matt. xi.
Ἀμπλακίης, καμάτοις τ' ἀδδηκότες, αὐτὸς ἀνιῶν
Θυμοβόρων ἀνάπαυμα δυηπαθέουσιν ὀπάσσω.
Βίβλοι μὲν πλήθουσι θεουδέες, ὧν ῥα δίδασκε
Δημοσίῃ τ' ἰδίῃ τε διηνεκές· ἄλλοτε θεσμὸν
Ἐκφράζων στερεῶς, εὐάγγελον ἄλλοτε μῦθον
Κηρύσσων ἑανῶς· καὶ θεσπεσίοις τεράεσσι
Θαμβαλέως ζαθέην διδαχῆς πιστώσατο φωνήν.
Ἦ γὰρ νυμφιδίῃ παρὰ παστάδι νήχυτον ὕδωρ
Ἐς μέθυ λαρὸν ἄμειψε· καὶ εἴδεα ποικίλα νούσων
Ἀλθαίνοντ' ἀγανοῖς ὑπὸ νεύμασιν εἰν ἔπος ἤρκει.
Κωφοῖς οὖατ' ἄνοιξε, καὶ ὄμματα δάσκια τυφλοῖς,
Ἀφθόγγοις τε χάλασσεν ἀθελγέος ἅμματα φωνῆς.
Λεπροῖς χρῶτα κάθηρε, συνήρμοσε δ' ἄψεα χωλοῖς,
Καὶ πυρετοὺς ἔσβεσσε, καὶ ἐκ χροὸς οὐλοὸν ὕδωρ
Οἰδαλέου τέρσηνε, καὶ ἔκλυσιν εἵλετο γυίων,
Καὶ φθίσιν· ἐκ κατόχων δ' αὖ πνεύματα λυγρὰ δίωξε.
Παυριδίοις δ' ἄρτοισι καὶ ἰχθύσιν ἄπλετον ἔθνος
Δειπνίζων ἐκόρεσσε· λόγῳ δ' εὔνησε θυέλλας.
Καὶ νεπόδων ἔπλησε μετ' ἀσπαλιεῦσι σαγήνας.
Ταρσοῖς ἀβρέκτοισι θαλάσσης νῶτα πάτησε.
Καί ποτε γίνετ' ἄφαντος. ἔδωκε δὲ πίστιν ἀληθῆ,
Ὡς ᾔδει τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα·

Τῆλε

*Petrus* et *Andreas*, *Thomas*, acerque *Philippus*,
*Matthæus*, *Bartholomæus*que, et ſævus *Iudas*.
Hos legit, ut Verum doceant, et flumine tingant
Converſos; cumque his ſummi mortalibus edit
Conſilium patris; ex *Legis* cui juſſibus iram
Exacuit; ſimul et veſanæ incendia culpæ
Arguit, oſtenditque iter inculpabile vitæ.
Ex *Evangelio*, quàm gratia larga benigni
Sit patris, et quàm ſit miſeratio fida, revelat,
Per *Chriſti* meritum, quæ ſontibus obvia cunctis.
Uſque adeò Deus, inquit, amat mitiſſimus orbem,
Unigenam ut morti natum quoque tradat acerbæ,
Qui luat omne nefas: quem ſi quis prênderit unum
Non dubitante fide, nunquam mergatur *Averno*,
Sed conſors vitæ æternæ potiatur *Olympo*.
Huc agite, O homines, agite huc, quos pondera culpæ
Dura premunt, gemituſque angit gravis; ipſe levabo
Feſſos, ipſe dabo cunctis lenimina curis.
Pleni ſermonum libri, quos publicè in aures
Sparſit, privatimque habuit; nunc verbera *Legis*
Incutiens rigidè; blandis præconia verbis
Nunc *Evangelii* reſonans, per templa, per ædes;
Digna Deo veris adhibens miracula dictis.
Fontanum mutat generoſa in vina liquorem,
Dum tædis bonus hoſpes adeſt: tot numine pellit
Cœleſti morbos, verbo et vix utitur uno.
Mox aures aperit ſurdis, mox lumina cæcis,
Mox linguæ demit captivæ obſtacula mutis.
Et lepras abigit; claudis ſua membra reponit;
Extinguit febres; tumidoque in corpore fuſas
Siccat aquas. Si quis ſegnes immobilis artus
Tabeque conſumptus; *Beliæ*que furore ſubactus,
Sanus abit. Paucis ingens quoque panibus agmen
Piſciculiſque cibat; verbo rabida æquora ſternit;
Squamigeroſque greges in retia cogit; et udi
Terga maris ſicco calcat pede; ſique neceſſe eſt,
Subtrahit extemplò ſe oculis; certò omnia novit,
Quæ ſint, quæ fuerint, longè et ventura trahantur,

Τῆλε τ' ἀφισαμένων πόρον ἔγνω, καὶ φρένας ἀνδρῶν.
Καὶ δύναθ' ὅσσ' ἐθέλεσκε διαμπερές. οὐ γὰρ ἐόντας
Ἐν θανάτου προπύλῃσι μόνον ζώγρησεν ἰωῇ,
Ἀλλ' ἤδη φθιμένοισιν ἀνοστήτοισι μιγέντας
Ἐς φάος αὖτε κάλεσσεν, ἰεὶς ψυχοστόλον Ἑρμῆν
Ὃν λόγον, ᾧ καὶ πάντα διαπρήξας τολυπεύει.
Καὶ βαιὸν πρὸ μόροιο, φίλοις ἐπέδειξε μαθηταῖς
Θεσπεσίως στίλβουσαν ἑὴν θεοειδέα μορφήν.
Φοίβου στιλπνοτέροις ἀμαρύγμασι λάμπεν ὀπωπὴ,
Εἵματα δ' ἀκτίνεσσιν ἐκαίνυτο φέγγεος αἴγλην.
Μωσῆς δ' Ἡλίας τε θεοπρόπος εἰς ὀαρισμὸν
Ἠλυθέτην, μακάρων τείως προλιπόντε χορείην.
Μαρτυρίῃ δ' ὕπατος γενετὴρ φίλον υἷα γέρηρε·
Τῷ δὲ κέλευε γένος μεροπήϊον οὖατ' ἀνάψαι.
Ὡς δ' ἄρα οἱ τέτρατον κηρύγματος ἤντετο Πάσχα,
Ὧι χάριν ἡμείων ἱερευσέμεν αὐτὸν ἔμελλεν·
Ἀμνοφάγον μετὰ δαῖτα, φίλοις διέταξε μαθηταῖς
Χριστοδόχον μέγα δεῖπνον· ἑῆς μὲν σαρκὸς ἐδωδὴν
Καὶ λύθροιο ποτῆτα, μεθ' ἁγνοτόκοιο λοετρὸν
Βαπτισμοῦ σφετέρης μυστήριον ἄλλο λατρείης.
Καὶ πόδας οἷσιν ἔνιψεν ὀπάοσι. τὴν δ' ἀνὰ νύκτα
Εἷς αὐτῶν παρέδωκεν Ἰουδαίοις μιν Ἰούδας·
Οἵ μιν ἀπηχθήραντο διαμπερὲς, οὕνεκεν αὐτῶν
Δυσσεβίην ἤλεγχε· κεχηνόσι δ' εἰς νόθον ἄλλον
Χριστὸν, ὃς ἀνδρόμεον διέποι μέγα κάρτος Ἑβραίοις,
Σκάνδαλον οὗτος ἔγεντο, καὶ οὐτιδανός σφιν ἐφάνθη.
Τοὔνεκεν οὐ παύσαντο, τιτυσκόμενοί μιν ἑλέσθαι
Κερδοσύνῃ τε βίῃ τε. Θεοῦ δ' ἐτελείετο βουλή.
Τοιάδ' ὑπὲρ βροτέης ὃς ἐδίζετο λύτρα γενέθλης.
Ὡς γὰρ πᾶσι βροτοῖς κακίην καὶ στυγνὸν ὄλεθρον
Πρῶτος ἀνὴρ πόρσυνεν ὑπερβασίῃσιν ἀλιτραῖς·
Ὣς χρέος ἦν πιστοῖς τὸν δεύτερον ἄνδρα κομίζειν
Αὖθι δικαιοσύνης ζωῆς τ' ἀπερείσιον ὄλβον,
Πλησινόμοις ἀρετῇσι, καὶ ὀξυμόροισιν ἀμοιβαῖς.
Καὶ τότ' ἐν ἀνθεμόεντι λιταζόμενος παραδείσῳ
Φρικτὸν δῦνεν ἀγῶνα ΘΕΟ'Σ ΛΟ'ΓΟΣ· ἐκ δέ οἱ ἱδρὼς
Κήκιεν αἱματόεις, ἐρύθυνε δὲ νῶτον ἀρούρης.
" Χριστὸς γὰρ βάσταξεν ὅλου κακὰ νήριτα κόσμου.

Quæque procul diſtent; menteſque introſpicit ipſas;
Cuncta poteſt quæ vult. Nec tantùm mortis ad umbras
Jam deſcenſuros reddit vitalibus auris;
Sed jam defunctis mixtos, animâque carentes,
Rurſum animat, vi ſermonis quâ cuncta gubernans
Efficit. Hic Ille eſt animis qui præſidet *Hermes*.
Jam propè finis erat, cùm majeſtate coruſcam
Divinâ ſpeciem coràm dat cernere paucis.
Ora micant radiis, quantùm non ipſe coruſcat
*Phœbus*: et haud lux eſt, rutilos quæ vincat amictus.
Colloquio ſe addunt, paulùm ſtatione relictâ
Cœlituum, ſacer *Helias*, *Moſes*que verendus.
Summus et in natum Genitor proclamat amorem:
Et jubet, humanum genus huic ut præbeat aures.
Et quartum jam *Paſcha* ſuos referebat honores,
Hoſtia quo noſtri caderet pro labe parentis.
Diſcipulis parat ergo novam, ſolenniter agni
Defunctis epulo, Cœnam; quâ fercula CHRISTI
Sunt caro, purpureus ſed pocula ſanguis; ut hoc ſit,
Poſt Baptiſma ſacrum myſterion inde ſecundum.
Abluit et plantas ſociis. Hâc nocte magiſtrum
Prodit *Judæis*, auro ſtimulatus, *Judas*,
Infenſis, vero quoniam ſcelera arguit ore,
Erroreſque horum: cupido et dum pectore quærunt
*Chriſtum*, qui regnum terreſtre extendat *Hebræis*,
Spernitur: et quàm probra nihil miſer ipſe reportat.
Nec priùs abſiſtunt omnes intendere fraudes
Et vires, quàm mira DEI eſt perfecta voluntas;
Pro noſtrâ pretium culpâ, qui tale popoſcit.
Namque ut primus homo peccatum induxit in orbem
Exitiumque, DEI frangit dum juſſa parentis;
Sic erat in fatis, ut homo credentibus alter
Juſtitiæ repararet opes vitæque beatæ,
Supplicio placans legem, et virtutibus implens.
CARNIGERUM ſed lucta DEI triſtiſſima VERBUM
Corripit, exculto dum fervidus orat in horto.
Sanguinis exſudat guttas, terramque cruentat.
Nam *Chriſtus* geſtat totius crimina mundi."

Μύσται δ' ὁπλοφόρων λατρίων στίφος ἧκαν Ἰούδα
Ἡγεσίῃς· ὁ δ' ἄνακτα φιλήματι δεῖξεν ἀλιτρῷ.
Οἱ δέ μιν ἀντιόωντα, θελήμονα πρὸς μόρον εἷλον,
Καὶ κρῖνον τοπρῶτον ὑπ' αἰνοῖς ἱεροφάνταις·
Καὶ κρίσις ἦν ἀθέμιστος. ἐφευράμενοι γὰρ ἐν αὐτῷ
Οὐδ' ὀλίγιστον ἔλεγχον, ὑπὲρ θέμιν ἠδ' ὑπὲρ αἰδῶ,
Παντοίαις τὸν ἄριστον ἀεικείῃσι δάμασσαν,
Εἰς κόρον· αὐτὰρ ἔπειτα θεμιστεύοντι Πιλάτῳ
Ῥωμαίων κατὰ θεσμὸν, ἀναίτιον ἐστήσαντο.
Αἴτια δ' ἐψεύσαντο θοῆς ἀντάξια ποινῆς·
Ὡς λαοὺς καινοῖσι διδάγμασιν ἠπεροπεύει,
Καὶ σέβας ἁρπάζων Χριστοῦ, τὸν Καίσαρ' ἀτίζει.
" Εὐδικίης δὲ τάλαντα δικασπόλος ὀρθὰ τιταίνων,
Φράσσατο, μυστάων τε κακηγόρον εὕρατο λώβην.
Τῷ μιν ὑπεξερύσαι μεμαὼς, εἰς πάντα τέτραπτο
Μήδεα· τῶν πόνος ἦεν ἐτώσιος. ἶφι γὰρ αὐτῷ
Λαὸς ὑπ' ἀρχιερεῦσιν ἐπειχθεὶς ἀντία βαῖνε,
Καίσαρος οἰομέδοντος ἐπαχθέα μῆνιν ἀπειλέων.
Ὅνπερ ὑπερτρομέων κρατερὸς πρόμος, ὕβρεϊ πολλῇ
Ἀμφιέπων Θεὸν ἄνδρα, καὶ ὀξυόδουσιν ἱμάσθλαις,
Σταυρῷ λαβήεντι μετήορον ἧκε παγῆναι,
Χεῖρέ τε καὶ σφυρὰ δισσὰ πεπαρμένον ὀξέϊ κέντρῳ,
Αἰχμητῶν ὑπὸ χερσὶ δυοῖν μεσσηγὺ κακούργοιν.
Γαῖα δὲ παμμήτειρα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
Συμπάσχοντε φάνησαν ἑῷ κτιστῆρι παθόντι.
Ἠέλιος γὰρ κρύψεν ἄφαρ τερψίμβροτον αἴγλην,
Τρεῖς ὥρας, καὶ πᾶσαν ἀνὰ χθόνα πέπταθ' ὁμίχλη·
Παλλομένη δ' ὑπὸ γαῖα βαθυρρίζους σχίσε πέτρας·
Θεσπεσίου δὲ πέτασμα διάνδιχα ῥήγνυτο νηοῦ·
Τύμβοι δ' ἠνοίγοντο, καὶ ἔμπνοος ἐκτὸς ὄρουεν
Ἀρχεγόνων κλυτὸς ἑσμὸς, ἑοῦ μετ' ἔγερσιν ἄνακτος.
Ὅς τότ' ἐὼν γαίης τε μεταίχμιος ἠδέ τ' ὀλύμπου,
Σεμνοὺς ἐξεπέτασσε βραχίονας, οἷον ἅπαντας
Ἀμφιπεριπλύξων καθ' ὅλην χθόνα· καὶ πάθος ἔτλη
Πάμπαν ἀνεξικάκως· ἠρήσατο δ' ἐσθλὰ φονευταῖς,
Οἵ ῥά ἑ κερτομίῃσιν ἐλεγχίστῃσιν ἄμυσσον·
Πίνειν δ' αἰτίζοντι χολημιγὲς ὄξος ὄπαζον.
Αὐτὰρ ὁ λασσόον τελέσας καὶ δριμὺν ἄεθλον,

Exin *Pontificum* manus agglomeratur *Judæ*
Ductibus inſidi: Dominumque is baſia miſcens
Indicat. Extemplò capitur, qui præſcius ultrò
Se obtulerat. Primi ſatagunt inquirere *Myſtæ*
In captum; ſed jus procul exulat et pudor omnis.
Nam licèt inveniant nil dignum crimine, probris
Fœdatum tamen exagitant, feriuntque, furorem
Dum ſaturant cupidum: ſiſtunt ſed manè *Pilato*
*Prætori Latio* miſerum; qui quamlibet inſons
Criminibus fictis oneratur. Namque *Senatus*
Accuſat, populum quòd falſo dogmate ineſcet;
Quòd *Chriſti* rapiens decus, ipſum *Cæſara* temnat.
At judex juſto librans examine cauſam,"
Lance *ſacerdotum* mendacia repperit illinc,
Hinc nullum *Chriſti* ſcelus; ùtque hunc liberet, omnes
Se in ſpecies vertit; ſed fruſtrà. Namque frementes
Cum populo *myſtæ*, inſano clamore fatigant
*Præfectum*, ſævaſque obtentant *Cæſaris* iras.
Has metuens ergo miſerum *dux*, atque merentem,
Carnificum dat ludibriis, rigidiſque flagellis
Vexandum; claviſque manus et crura foratum,
In cruce ſublimem figi demandat; ubi inter
Latrones geminos ſpectaclum triſte pependit.
Ipſa dolet tellus, et vaſtus mœret *Olympus*,
Conditor ut junctos patitur cum morte dolores.
Sol etenim roſeum tenebris caput occulit atris,
Tres horas; medioque die nox omnia mergit.
Succutitur tellus, viſæ et diſcedere rupes
A ſe divulſæ. *Templi* quoque vela pateſcunt
Fiſſa; et hiant tumuli; redivivaque corpora *patrum*
Se referunt, quando *Chriſtus* caput extulit umbris.
Qui tunc in medium cœli terræque levatus,
Brachia diſpandit latè, complexibus omnes
Ceu velit incluſos terræ genialis alumnos.
Et placidè tolerat ſua fata, ipſiſque precatur
Hoſtibus omne bonum; fœdè qui illudere gaudent
Semineci, et promunt ſitienti fellis acetum.
Ut verò exegit certamina dura ſalutis,

Πνεῦμα Θεῷ παρέθηκε, καὶ ἄπνοος ἐκ φρενὸς ἀϊτῆς
Ἔβλυσεν αἰχμάζοντι λύτρον καὶ φαίδιμον ὕδωρ.
Ὣς θάνεν αἰσχίστοιο Θεοῦ παῖς ἄλγεσι πότμου!
Κυδίστης δὲ ταφῆς νέκυς ἔμμορε· τὸν γὰρ ἄριστοι
Σφῶν ἑτάρων χρίσσαντες ἀρώμασιν ἠδὲ μύροισι,
Συνδόσι λεπταλέαις τ' εἰλυμένον ἐκτερέϊξαν,
Ἠρίον εἰς τυκτὸν νεαρόν θ', ὑπὸ γείτονι πέτρῃ.
Ἐνθάδε νεκρὸς ἔκειτο φερέσβιος εἰς τρίτον ἦμαρ,
Καὶ πρόπαν ἐλομένου κράτος ἄϊδος ἐξαλάπαξε.
Καὶ τρίτατον μετὰ φέγγος, ἐϋκλείστου διὰ τύμβου,
Κυδρὸς ἑῇ δυνάμει παλινάγρετον ἐς βίον ἔστη.
Πολλῶν δ' εὐσεβέων ἐφάνη βλεφάροισιν ἐναργῶς
Ἀνδρῶν, θηλυτερῶν τε· φίλοις θεράπεσσιν ὁμιλῶν,
Πολλοῖς ἐν χώροισι, καὶ ἤματα τεσσαράκοντα,
Ζωῆς τε ἀτρεκέος τεκμήρια πολλὰ κομίζων.
Ὀψὲ δ' εὖ τάξας κηρύγματος ἔνθεον ἔργον,
Αὐτοφόρῳ δυνάμει πρὸς ὀλύμπιον οἶκον ἀέρθη·
Δεξιτερὴν δὲ τοκῆος ἔχων, κράτος ἔσχεν ἁπάντων.
Ἠοῖ δ' ἐν δεκάτῃ θεοδινέα πέμψεν ἀήτην,
Πυρσοῦ ζαφλεγέθοντος ὑπ' εἴδεϊ πάμπαν ἀγητῷ,
Ἐκ φρενὸς ἧς καὶ πατρὸς, ὑπὸ φρένα καὶ στόμ' ὀπηδῶν·
Πάντων οὓς συνάγειρεν, ἀλιτροῦ νόσφιν Ἰούδα,
Ὃς θάν' ἀπαγξάμενος, καὶ σπλάγχν' ἐκχεύατο πάντα·
Εἶχε δὲ Ματθίας λόγιον γέρας. οἱ δ' ὑπὸ θερμῷ
Πνεύματι κινηθέντες, ἀνὰ χθόνα πᾶσαν ἴαλλον
Σπέρμα λόγων ζαθέων, μεγάλου τ' ἔρκεα Χριστοῦ
Ἔθνεα πάντα θέριζον, ἀμύμονι πίστιος ἅρπῃ,
Ἐκ Σολύμης τὸ πρῶτον ἀγακλέος ὁρμηθέντες.
Πολλὰ μὲν ἐν Χριστοῦ Στέφανος καὶ Πέτρος ἀέθλοις
Κάμνον, Ἰωάννης τ', Ἰάκωβός τ' ἠδὲ Φίλιππος,
Βαρνάβας τ' ἄλλοι τε, βοῆς, γραφίδος τε καὶ οἴτου
Μαρτυρίῃ, σταυροῖο λόγον μέγα κυδαίνοντες.
Πάντων δ' ἀριπρεπὴ Παῦλος τὰ πλεῖστα μόγησεν·
Ὃν φόνον ἐκπνείοντα, καὶ ὀκρυόεσσαν ἀπειλὴν,
Εἰς Χριστοῦ γένος ἠΰ, καὶ ἀγρεύοντα πρὸς οἶτον,
Θαυμασίαις φωνῆσι καὶ ἀστεροπῆσι φαείνων,
Αἰθέρος ἐξ ὑπάτοιο, Θεοῦ σωσίμβροτος υἱὸς,
Εἰς ὁδὸν εὐσεβίης, καὶ πίστιος ὀξὺν ἄεθλον,

Commendans animam reddit patri, éque reſiſſo
Pectore jam functus cum ſanguine projicit undam.
Infami ſic morte Dei cadit unicus hæres!
Sed tamen inſignem tumuli ſortitur honorem.
Namque hunc condîtum vario bene aromate, et unctum,
Syndoneque obtectum purâ, non infimi amici,
Exciſo nuper, pulchroque in marmore, condunt.
Illîc exanimis vitæ jacet optimus auctor;
Intereaque atri regnum populatur *Averni.*
Dumque redire parat terris lux tertia, buſti
E clauſtris, proprio motu, ſe tollit in auras;
Oſtenditque piis ſe clarâ in luce videndum
Matronisque viriſque: dies quater inde revelans
Per denos, et amica ſuis commercia jungens,
Argumenta novæ præbet quàm plurima vitæ.
Tandem ubi veriloqui inſtituit præconia verbi,
Ad ſuperas propriis ſe viribus evehit arces:
Et patris ad dextram pollens tenet omnia regnum.
Luce ſed hinc decimâ *numen ſpirabile* mittit
Corde ſuo ac patris, miræ ſub imagine flammæ:
Occupat hoc largè ſociorum pectora et ora;
Quos tunc conciêrat, maleſidum præter *Iudam:*
Guttur is innectens laqueo profuderat alvum;
*Matthias*que loco ſucceſſerat. Ergo benigno
Exciti flatu, divini ſemina verbi
Per cunctas ſparsêre plagas; inque horrea *Chriſti*
Omnigenas populos fidei mox falce metebant.
Principiumque operis Solymæâ extenditur urbe.
Multa quidem *Petrus* et *Stephanus* pius, atque *Philippus,*
*Barnabas*que, et *Ioannes* cum fratre *Iacobo,*
In *Chriſti* fortes peragunt certamine, et ore
Ac calamo, lethoque crucis teſtantur honorem.
Inter eos *Paulus* ſed ſcripto ac voce peregit
Plurima; quem *Chriſti,* dum cædes ſpirat et iras
In genus, et paſſim fraudes et vulnera nectit,
Voce tonans ſubitâ, et miro fulgore coruſcans
E cœlo, ſummi proles æquæva parentis
Ad pietatis iter traxit, fideique palæſtram,

Ἐκτὸς ἀλημοσύνης τε ϗ ἔχθεος εἷλκε δαφοινοῦ·
Ἐξαῦτις δέ ἑ θῆκεν ἀπόστολον, ὃς τάχα πᾶσαν
Εὐρώπην τ' Ἀσίην τε Θεοῦ λόγον ἦλθε διδάσκων.
Ἐκ γὰρ Ἰουδαίης Συρίην μόλεν· ἐνθάδε πρῶτον
Χριστιανῶν ὄνομ' ὦρτο, κατὰ πτόλιν Ἀντιοχείης.
Ἐκ Συρίης Κιλίκων δάπεδον, ϗ πατρίδα Ταρσὸν,
Καὶ Κύπρον μετέπειτα· ϗ ὅσσα περ ἔθνεα κεῖται
Ἀσίδος ἐν κόλποισιν ἐλάσσονος αἰολοτέχνοις.
Παμφυλοὺς, Πισιδάς τε, Λυκαονίης τε πολίτας,
Καὶ Φρύγας εὐπλούτους, Γαλατῶν θ' ἑτερόθροον ἔθνος,
Μυσοὺς τ' εὐρυπέδους, ϗ Ἰάονας ἀγχιθαλάσσους.
Θείης τ' ἐννεσίῃσι πέρην Ἀθαμαντίδος Ἕλλης,
Ἐς Μακετῶν χθόνα βαῖνε, ϗ Ἑλλάδος ἀγλαὸν οὖδας,
Νήσων τ' ἀμφιάλων ναέτας· σωτῆρα δ' ἐνίσπων
Σταυροθανῆ ζαθέης ἰαχαῖς ϗ γράμμασι φωνῆς,
Στηρίζων τ' ἀφάτοισι τεράασιν ἔνθεον αὐδὴν,
Πέρσε Θεῶν ἀμενηνὰ σεβάσματα ποικιλομόρφων.
Εὖτε δ' ἐεικοστὸν ϗ δεύτερον εἰς ἐνιαυτὸν
Πρῆξεν ἐλευθέριον διδαχῆς δρόμον, ὀψὲ δόλοισι
Σφίγγετ' Ἰουδαίων, ϗ δέσμιος ἵκετο Ῥείμην.
Ἔνθα δικασπολίῃσιν ἀλιτροβίοιο Νέρωνος
Τεμνόμενος, Χριστοῦ ψυχὴν εἰς χεῖρας ἔθηκεν,
Εὖτε ϗ Ἑσπερίοις θεοφάντορα λύχνον ἀνῆψε.
Παύλου δ' εἰσέτι νῦν ζώει λόγος ἐν σελίδεσσιν
Ἃς πυκνὰς πολέεσσιν, ἐν ἅμμασι, ϗ τοπάροιθεν
Γράψεν, ἐτητυμίης φαίνων θεοπειθέος αἴγλην.
Ταῖς δ' ἐνὶ (συντέμνειν εἰ βούλεαι) τρισσὰ δίδαξε·
Πίστιν ἐπὶ Χριστὸν καθαρὴν, ἥτ' ἄνδρα σαώζει·
Πάνστοργόν τ' ἀγάπην, ἣ πᾶσιν ἐοικότα ῥέζει·
Καὶ τάλασιν μόχθων εὐέλπιδα. ϗ γὰρ ὅτ' ἄνθος
Οὐρανίοιο λόγου θάλλει, ϗ καρπὸν ἀέξει,
Σταυροῦ δακρυόεντος ὁμοῦ βλαστοῦσιν ἄκανθαι,
Κεντεῦσαι Χριστοῖο σεβάστορας· ἔνθα μάλα χρεὼ
Τλημοσύνης, τὴν ἐλπὶς ἀριστεύουσα λοχεύει.
Αἶψα γὰρ, ὡς Χριστοῖο λόγου μυκήσατο σάλπιγξ
Ἐς χθόνα, κηρύκων Χριστοῦ μέγα φυσιοώντων·
Δαίμων ἀγριόθυμος ἑὸν μένος ὦρσεν ἐπ' αὐτοὺς,
Καὶ στρατιὴν θώρηξεν ἀπειθέα δυσσεβεόντων

Οἰστρήσας.

Ex odio in ſanctos, deceptæ erroreque mentis:
Legatumque ſibi fecit, quo penè per omnem
*Europam*que, *Aſiam*que ſuum citò dogma propagat.
Namque ab *Iudæâ*, *Syriam* penetravit; in urbe
*Antiochenâ*, ubi Chriſticolæ nova nomina genti
Surgunt. Hinc *Cilicum* terras patriamque reviſit
*Tarſon*; et inde ſolo *Cypri* venit hoſpes, et omnes
Pervadit gentes, *Minor Aſia* quotquot alebat;
*Pamphylos*, *Piſidas*que, *Lycaoniæ*que colonos,
Et *Phrygas* auricomos, *Galatas*que alio orbe profectos;
*Myſos* lativagos, ſparſoſque in littore *Ionas*.
Admonituque Dei ſuperans *Athamantidos Helles*
Æquor, adit *Macedûm* terras, et *Achaida* pulchram,
Indigenasque maris: dumque in crucis arbore fixum
Prædicat argutis labiis, calamoque diſerto,
Et ſua confirmat miraclis dicta ſtupendis,
Divorum paſſim cultus abolentur inanes.
Jamque in vigenos binosque eduxerat annos
Doctrinæ curſum liber; cùm fraude malignâ
Vinctus *Iudæûm*, *Romæ* defertur in urbem.
Hîc animam *Chriſti* manibus tranſmittit habendam,
Impuri arbitrio truncatus colla *Neronis*;
Cùm priùs *Heſperios* verbi quoque luce beâſſet.
Et doctrina libris etiam nunc vivida ſpirat,
Vinctus epiſtolico calamo quos ſcripſit et antè,
Liber adhuc; veri cum cœlica lumina profert.
In quibus (in ſummam ſi ſtrinxeris iſta) docetur
Vera fides, Chriſto prênſans donante ſalutem:
Et fraternus amor, cunctis qui ſervit; et omnes
Ærumnas tolerans animus. Nam germina quando
Cœleſtis florent verbi, fructuque redundant;
Spina crucis pariter lacrymoſæ effloret, acutis
Chriſticolas pungens ſtimulis: Patientia ad iſtos
Ergo piis opus eſt, quam ſpes fortiſſima gignit.
Nam ſimul ac *Chriſti* magnum tuba læta per orbem
Clanguit, a Chriſti magnis inflata miniſtris;
Confeſtim vires *Dæmon* contendit in illos;
Armat et in rapidos mox agmina ſæva furores

*Chriſto*

Οἰσρήσας. οἱ δ' αὖ κρατερόφρονες οἷα μαχηταὶ,
Μίμνον, ὑφιστάμενοι φρενὶ κόσμου παντὸς οἴστρους
Ἀτρέπτῳ· κραδίησι λόγον μόνον, ὅπλα φέροντες,
Ὧι Χριστοῦ μέγα πλῆθος ὑπὸ ζεύγλησι δάμασσαν.
Ὀψὲ δὲ πολλὰ καμόντες ἀγώνια, πολλὰ παθόντες,
Νίκης, ἐν θανάτῳ περ, ἀέθλια κύδιμ' ἄροντο.
Τίς κεν ἐπιτροχάδην ἐρέῃ κακὰ, τοῖσι πάλαιον;
Ἐς δεσμοὺς βάλλοντο, καὶ ἀζηχέεσσιν ἱμάσθλαι,
Αἱμαλέως ξαίνοντο, καὶ ἐκ κτεάτων ἐλάοντο.
Καὶ πάτρης, εἴργοντο δ' ὁμαῖς ξυνόδοισι πελάσσαι·
Πᾶσιν ἐπιχθονίοισιν ὑπόψιοι, ἠδὲ θέητρον
Κόσμου τ', ἀνθρώπων τε, καὶ αὐτῶν ἀγγελιωτέων·
Πᾶσιν ἄδην ἐπίχαρμα, καθάρματα κύντατα γαίης.
Ἄλλον δ' ἄλλα κέλευθα φέρε στονόεντος ὀλέθρου.
Τὸν μὲν χερμαδίοισι χεροπληθέσσι κάλυψαν·
Τὸν δ' ἀπεδειροτόμησαν ἀφειδέες· ὑψόσε δ' ἄλλον
Ἐν σκολόπεσσι τίτηναν· ἀπ' ὀστεόφιν δέ που ἄλλῳ
Δέρμ' ἔρυσαν ζώοντι, καὶ ἔκ τινα βήματος ἄλλον
Ρίψαν ἀνηλεγέως· ἕτερον δ' ἕψησαν ἐλαίῳ
Ζωὸν ἀπημάντῳ· τινὰ δ' αὖ τέφρωσε τύραννος,
Καί τιν' ὑπ' αἰχμητέων τοξεύμασι θῆκε δαΐζειν.
Τίς δὲ μόρους λέξειε διακριδόν; οἷσιν ὅμιλος
Πρῶτον Ἀποστολικὸς, μετέπειτα δὲ μάρτυρες ἄλλοι,
Χριστὸν κυδαίνοντες, ὀπίσσω σταυρὸν ἔνεικαν·
Ἐξ οὗ σταυροφόρος βασιλεὺς, ἐνοπῇσι μαθητῶν
Σταυρολόγοις, θεόχαρτον ὁμήγυριν ἦρχεν ἀγείρειν.
Ἀρχομένην τὴν εἶδεν, ἀεξομένην τε τύραννος
Ἀντίπας φθονεροῖσιν ὑπ' ὄμμασιν, οὐδ' ἀπόνητο.
Τοῦδ' ἄρ' ἀδελφοῦ τέκνον Ἀριστοβόλοιο θανόντος
Ἀγρίππας κατέχευε λυγρὴν παρὰ Καίσαρι φήμην,
Ὡς κακὰ μηχανάατο. κατηγορίῃ δὲ πιθήσας
Γάϊος αὐτομέδων, σὺν κλεψιγάμῳ μιν ἀκοίτι
Ἐς Κελτοὺς μετέθηκεν· ὅπη μόρος ἔφθασεν ἄμφω
Ἄξιος, ἐν κλεινῇ Λουγδουνίδι. καὶ τότε θυμῷ
Καίσαρος ἡγεσίην δεκετηρίδα λεῖπε Πιλάτος·
Αὐτοῦ δ' αὐτοφόνῳ ψυχὴν ἀπέκερσε σιδήρῳ,
Καὶ ποιναῖς ἀπέτισσεν ἑὸν χρέος, οὕνεκεν ὠμῶς
Ἀβραμίδαις σήμηνεν, ἀπέκτανε δ' υἱὰ Θεοῖο.

*Chriſto* adverſantûm. Forti ſe at milite dignum
Quiſque gerens, tela excipiunt hoſtilia mundi
Totius, nil quàm verbi contrà arma ferentes,
Quîs adigant *Chriſti* juga ſub mitiſſima gentes.
Duraque perpeſſi multa in certamine forti,
Invicti, ex ipsâ referunt nece munera palmæ.
Quis breviter narret mala, quæ malo in orbe tulerunt?
In vinclis hærent miſeri, flagrisque cruentos
Excipiunt ictus; opibus ſpoliantur; et ipſam
Amittunt patriam, et ſacri commercia cœtûs.
Ut qui ſint hominum labes; ſpectacula mundi,
Spirituumque hominumque, omni ludibria vulgo;
Horrendiſque modis abolenda piacula terræ.
Suppliciis igitur variis tolluntur: In Illos
Impia vis lapidum nimbosâ grandine ſævit;
His caput avellunt; ſunt qui turbantur ab alto
Suggeſtu; et vivam nudo quîs detrahit hoſtis
Oſſe cutem. Sunt quos trabibus ſuſpendit in altis
Transfixos; et quos olei ferventis aheno
Percoquit incolumes: alios rogus igneus aufert
Vivos; et miles ſinuato conficit arcu.
Quis lethi formas narret? Quîs cœtus ad umbras
Ivit *Apoſtolicus*, quîs martyres inde beati
In *Chriſti* ſubiêre crucem patienter honorem:
Ex quo, Chriſtiloquis ſociorum vocibus, agmen
Rex crucifer ſibi dilectum legere undique cœpit.
*Antipas* cujus primordia læta tyrannus
Vidit et invidit; nihil at vidiſſe juvabat.
Hunc ſed *Cæſareâ Agrippas* infamat in aulâ,
Fratris *Ariſtoboli* natus, jam lumine caſſi,
Quòd monſtri quid alat. Mox *Caïus* ergo malignis
Credulus indiciis, cum fœdâ uxore relegat
Inceſtum ad *Gallos*; *Lugduni* ubi dignus in urbe
Hos capit interitus. Tunc *Cæſaris* ira *Pilatum*
Abdicat imperio, quod per duo luſtra tenebat.
Qui tandem proprio vitam ſibi præſecat enſe;
Debitaque exſolvit pœnis, quòd ſævus *Hebræis*
Dux fuerat, ſobolemque occiderat ALTITONANTIS.

HÆC (nullius ferè momenti) vel ſi quæ fortè alia prætermitterentur, errata; prelo longiùs a me remoto imputabit, atque ita corriget B. L.

## In Textu Græco.

| Pag. | Linea | *Lege* |
|---|---|---|
| x | 11 | ἐκλίθεσθαι |
| 4 | 11 | οὕτω |
| 10 | 23 | ἀνθρώπων |
| 12 | 5 | ἐλπίζωμεν |
| ibid. | 8 | συλλεχθησώμεθα |
| 26 | 9 | νώω |
| ibid. | 20 | δῆ |
| 28 | 10 | νωμᾷ |
| ibid. | 12 | περιήξεσσι |
| 32 | 16 | κυρίῳ |
| 38 | 4 | μαλερῷ |
| ibid. | 5 | *dele* , *poſt* τὴμὲν |
| 46 | 23 | Ὄρει |
| 56 | penult. | ἐπεμβαδεύσωμεν |
| 64 | 19 | Ὠκυμόροις |
| 76 | 7 | ὑπερπηδᾷ |
| 78 | 13 | ἠδ' |
| 92 | 12 | τοὐμὸν |
| 94 | 21 | Ἐξανεωμᾶς |
| 104 | 3 | ἐπιμελεῖσθαι |
| 108 | penult. | θλίβουσι |
| 120 | 18 | Ὠκυμόρου |
| 128 | 4 | τεὸν |
| ibid. | 12 | *poſt* ἀμζωσθεῖσα ; |
| ibid. | 15 | παιδὸς |
| 130 | 4 | In 2 ſedis ſyllabâ 2dâ,- |
| ibid. | 11 | αὖ |
| 142 | ult. | φύγον |
| 152 | 7 | γαστέρας |
| 162 | 21 | οὐδὲν |
| 164 | 18 | ΤΙ ΠΤ' |
| 166 | 26 | Ἤυτε |
| 172 | 21 | Ἐστὶ |
| 176 | 5 | γοῆς |
| 180 | 24 | Ὡς |
| 186 | 17 | *poſt* Λίβανον , |
| ibid. | ult. | Ἄμβροτος |
| 190 | 2 | Ἐλπωρὴ |
| 192 | 11 | Ζὴν |
| 194 | 20 | ἀμεμφῆ |
| 196 | 5 | ἐμῇ |
| 206 | 5 | μελέτω |
| ibid. | 14 | Ἦλθεν |
| 208 | 5 | ταρβήσῃ |
| ibid. | 22 | ἀμυσχρὸν |

## In Textu Græco.

| Pag. | Linea | *Lege* |
|---|---|---|
| 212 | antepenult. | οἷα |
| 216 | 31 | ἔκλυε |
| ibid. | penult. | πελειάδας |
| 218 | 6 | θεοπροπίων |
| ibid. | 11 | ΤΩΙ Δ' |
| 222 | 1 | Ἀθηναῖον |
| 224 | 5 | αἱμοβόρον |
| ibid. | 18 | ἐνὶ |
| 230 | 13 | μεμέλητο |
| ibid. | 17 | ἀολλίσας |
| 234 | 4 | Ἀλλὰ τίς |
| ibid. | 33 | πορσύνουσα |
| ibid. | penult. | ἥπερ |
| 238 | ult. | Ὡς |

## In Textu Latino.

| Pag. | Linea | *Lege* |
|---|---|---|
| vi | 28 | Iambico |
| 14 | ult. | ſecundo |
| 33 | 1. | *poſt* imperii *dele* , |
| 39 | 9 | *poſt* vigor *dele* . |
| 47 | 18 | inſpiciebat |
| 90 | Not. 2. 3 | *adde* locum *poſt* eum |
| 111 | 10 | *dele* ^ in redarguat |
| ibid. | 28 | præſtò |
| 121 | 6 | ſtudium [animus] |
| 123 | 2 | dominatur |
| ibid. | 9 | auditis |
| 133 | 31 | tuite |
| 141 | 16 | perquàm agiles [verſatiles] |
| 175 | Tit. curr. | XLV. |
| 181 | 15 | carius |
| 189 | 5 | extitiſti, |
| ibid. | 9 | et |
| 199 | 22 | probra |
| 201 | 4 | bellum |
| 218 | 10 | autoris *dele* , |
| 223 | 28 | juſſis |